leur aux côtés, fièvre sourde, céphalalgie; les yeux ne voient pas; les jambes sont pesantes; la couleur est noire; et le malade maigrit. Dans ce cas, il prendra souvent un évacuant, du petit-lait et du lait dans la saison, il s'abstiendra des aliments doux, huileux et gras; il les prendra très-froids et très-relâchants. On purgera la tête; après les évacuations par le haut, on tirera du sang des bras, s'il n'est pas faible. Le ventre n'est-il pas libre? on prescrira un clystère émollient. Le malade s'abstiendra d'excès de vin et du coït. S'il use du coït, il prendra à jeun un bain de vapeur. Il se gardera du soleil, fera peu de gymnastique, ne se promènera pas, ne prendra pas de bains chauds et ne mangera rien d'âcre et de salé. Par ces moyens, et avec l'âge, le malade se sauve, et la maladie vieillit avec le corps; mais, si elle n'est pas soignée, elle abrége la vie.

74. (*Autre maladie noire.*) Autre maladie noire : le malade prend une teinte rougeâtre, il maigrit; ses yeux sont jaunâtres; la peau devient mince, et il s'affaiblit. Plus le temps passe, plus la maladie s'aggrave. Il vomit à tout moment quelques gouttes en deux gorgées; il vomit les aliments souvent, et, avec les aliments, de la bile et du phlegme. Après le vomissement il souffre dans tout le corps, et parfois même avant de vomir. Il a des frissons légers et de la fièvre. Ce qui le fait surtout vomir, ce sont les substances douces et huileuses. En ce cas, on évacuera par le bas et par le haut; après on prescrira le lait d'ânesse. Il usera d'aliments très-émollients et froids, poissons de rivage, poissons cartilagineux, bettes, courges, viandes hachées. Il boira du vin blanc généreux, assez coupé. Son genre d'exercice sera la promenade. Il ne prendra pas de bain chaud et se gardera du soleil. Voilà ce qu'il faut faire. La maladie n'est pas mortelle, mais elle suit jusque dans la vieillesse.

E (H, al. manu ι), Frob. – τετριμένοισι J. — [9] ἐν om., restit. al. manu H. – οὐ (E, al. manu οὗ) IJK, Ald. – ξυγκαταγηράσκοι, al. manu ει H.

75. Σφακελώδης· [1]τὰ ἄλλα μὲν τὰ αὐτὰ πάσχει, ἐμέει δὲ θρόμβους πεπηγότας χολῆς καὶ κάτω ὁμοίως, ἐπὴν τὰ σιτία ἀποπατήσῃ. Δρᾷν δὲ χρὴ τὰ αὐτὰ ἅπερ ἐπὶ τῆς προτέρης [2]ἐλέχθη, καὶ ὑποκλύζειν.

[1] Τὰ μὲν ἄλλα FHILθ. - ταῦτα θ. — [2] ἐλέχθη om. (H, restit. al. manu) θ.

75. (*Autre maladie noire; remarquez ici* sphacélique *employé dans un sens tout particulier, et comparez pour un emploi également particulier du mot* sphacèle, *le* § 5 *du* Deuxième livre des Maladies.) Maladie sphacélique : le malade éprouve les mêmes accidents que dans le cas précédent; mais il vomit des grumeaux coagulés de bile; il en rend aussi par le bas quand il va à la selle. On fera comme il a été dit plus haut, et on prescrira des lavements.

FIN DU DEUXIÈME LIVRE DES MALADIES.

ΠΕΡΙ ΝΟΥΣΩΝ ΤΟ ΤΡΙΤΟΝ.

DES MALADIES. LIVRE TROISIÈME.

ARGUMENT.

Quoique ce *Troisième livre des maladies* commence par : *J'ai parlé de toutes les fièvres, je vais maintenant parler du reste,* cependant ce n'est pas la suite du *Deuxième livre,* où il n'est pas traité des fièvres spécialement; seulement cela indique que nous n'avons là qu'un fragment, et qu'il nous manque un traité dont les fièvres faisaient le sujet.

Ce *Troisième livre* est, jusqu'à un certain point, une autre rédaction du *Deuxième livre* des maladies. Les modes de traitement sont identiques; les mêmes expressions se retrouvent des deux côtés; plusieurs maladies sont décrites dans le *Troisième* presque avec les mêmes termes que dans le *Deuxième;* et, comme il y a dans le *Deuxième* des parties qui figurent deux fois dans ce même *Deuxième,* on voit qu'on a, de certaines parties, jusqu'à trois rédactions. Ce sont des remaniements appartenant, non pas sans doute au même auteur, mais ou à des disciples de la même école ou à des gens à peu près contemporains; conclusion à laquelle on arrive toujours de quelque côté que l'on examine la Collection hippocratique. C'est ainsi que des parties étaient communes entre le livre des *Sentences cnidiennes,* attribué à Euryphon, et le *Deuxième livre des Maladies,* § 68. On verra dans l'*Argument* du traité de la *Nature de la Femme* que les parties communes n'étaient pas bornées à ce paragraphe.

BIBLIOGRAPHIE.

MANUSCRITS.

2255 = E, 2144 = F, 2141 = G, 2142 = H, 2140 = I, 2143 = J, 2145 = K, Cod. Serv. ap. Foes = L, 2332 = X, 2148 = Z, Imp. Corn. ap. Mack = K', Imp. Samb. ap. Mack = P', Cod. Fevr. ap. Foes = Q', Cod. Vindob. = θ[1].

ÉDITIONS, TRADUCTIONS ET COMMENTAIRES.

Voyez pour cela la bibliographie, t. VI, p. 139[2].

[1] Je n'ai eu pour ce livre que la collation de Mack. — [2] Ajoutez à la bibliographie du *Deuxième livre des Maladies :* Melænæ hippocraticæ genuinæ imago, indoles et diagnosis specialior; dissertatio inauguralis medica J. Lichtschlag; Bonnæ, 1828, in-4°.

ΠΕΡΙ ΝΟΥΣΩΝ ΤΟ ΤΡΙΤΟΝ.

1. Περὶ [1]μὲν οὖν πυρετῶν ἁπάντων εἴρηταί μοι· ἀμφὶ δὲ τῶν λοιπῶν ἐρέω ἤδη. [2]Οἴδημα ἐγκεφάλου· ὁκόταν ὁ ἐγκέφαλος οἰδήσῃ ὑπὸ φλεγμασίης, ὀδύνη ἴσχει ἅπασαν τὴν κεφαλὴν, μάλιστα δὲ ὅπῃ σταίη ἡ φλεγμασίη· ἵσταται δὲ [3]ἐν τῷ κροτάφῳ· τά τε οὔατα ἠχῆς πλήρεα γίνεται, [4]καὶ ἀμβλὺ ἀκούει, καὶ αἱ φλέβες τέτανται καὶ σφύζουσι, πυρετός τε καὶ ῥῖγος ἐνίοτε ἐπιλαμβάνει, ἥ τε ὀδύνη ἐκλείπει οὐδέποτε, ἀλλὰ ποτὲ μὲν ἀνίησι, ποτὲ δὲ [5]μᾶλλον πιέζει· βοᾷ τε καὶ ἀναΐσσει ὑπὸ τῆς ὀδύνης, καὶ ὁκόταν ἀναστῇ, αὖθις σπεύδει [6]ἐπὶ τὴν κλίνην καταπεσεῖν, καὶ ῥιπτάζει ἑωυτόν. Οὗτός ἐστι μὲν θανατώδης, ὁκόσων δὲ ἡμερέων ἀποθανεῖται, οὐκ ἔχει κρίσιν· ἄλλοι [7]γὰρ ἄλλως ἀπόλλυνται· ὡς μέντοι ἐπιτοπολὺ ἐν τῇσιν ἑπτὰ ἡμέρῃσι τελευτῶσιν· εἴκοσι δὲ [8]καὶ μίαν διαφυγόντες ὑγιέες γίνονται. Χρὴ δὲ, ὁκόταν περιωδυνέῃ, ψύχειν τὴν κεφαλὴν, μάλιστα μὲν ξύραντα, ἢ ἐς κύστιν ἢ ἐς ἔντερα ἐγχέαντα τῶν ψυκτικῶν τι, οἷον χυλὸν στρύχνου καὶ γῆν κεραμίτιδα, τὸ μὲν προστιθέναι, τὸ δὲ ἀφαιρέειν, πρὶν [9]ἢ χλιαρὸν γένηται, καὶ τοῦ αἵματος ἀφαιρέειν, καὶ τὴν κεφαλὴν καθαίρειν σελίνου χυλοῖσι μιγνύντα εὐώδεα· ἀοινέειν δὲ τὸ πάμπαν, [10]ῥοφεῖν δὲ πτισάνης χυλὸν ψυχρὸν, καὶ τὴν κάτω κοιλίην λύειν.

2. [11]Πλήρωμα ὀδυνῶδες ἐγκεφάλου· ὁκόταν δὲ περιωδυνέῃ ἡ κεφαλὴ ὑπὸ πληρώσιος τοῦ ἐγκεφάλου, ἀκαθαρσίην σημαίνει, καὶ τὴν κεφαλὴν ὅλην περιωδυνίαι [12]ἴσχουσι, καὶ παραφρονέει, καὶ ἀποθνή-

[1] Μὲν οὖν om. L. – μὲν om., restit. al. manu E. – νῦν pro οὖν GJ. – μοι εἴρηται EHK. — [2] ο. ἐ. om. FGHIK. – περὶ οἰδήσαντος ἐγκεφάλου E. – περὶ οἰδήσεως ἐγκεφάλου J. – ὁπόταν EGIJK, Ald. – ἐπὴν pro ὁκόταν θ. – ὅπῃ.... κροτάφῳ om. L. — [3] εἰς τοὺς κροτάφους P'θ. – καὶ (καὶ om. EHKθ, Lind., Mack) τά τε (τὰ δ' P'θ) οὔατα vulg. – πλήρη GIJ. – πλέα EHKP'Q'', Lind. — [4] καὶ ἀμβλύει ἡ ἀκοὴ vulg. – καὶ ἀμβλὺ ἀκούει EHKP' (Q', ἀμβλῶ sic) θ, Lind., Mack. – αἱ θ. – αἱ om. vulg. — [5] πιέζει μᾶλλον EH. – Ante βοᾷ addunt καὶ EHK. – ἀΐσσει FGIJ. — [6] ἐς EHKθ. – πεσεῖν vulg. — [7] γὰρ om. K. – δὲ ,al. manu γὰρ E. — [8] καὶ om. θ. – ὑγιεῖς GIJ. – γίνονται om., restit. al. manu H. – ξηρήσαντα θ. – ἢ ἐς κύστιν ἢ om. θ. – ἐκχεαντα GJ, Ald. – ψυκτῶν P'Q', Lind. – τι om. θ. — [9] ἢ om., restit. al. manu H. – εἶναι E (H, al. manu γένηται). – μιγνῦντα I. — [10] ῥομφεῖν GIJ, Ald. – πτισσ. E. – ψυχρὸν θ. – ψυχρὸν

DES MALADIES. LIVRE TROISIÈME.

1. (*Phlegmasie cérébrale.*) J'ai parlé de toutes les fièvres; je vais maintenant parler du reste. Gonflement de l'encéphale : quand l'encéphale se gonfle par phlegmasie, la douleur occupe toute la tête, surtout là où la phlegmasie est fixée; or, elle se fixe à la tempe; les oreilles sont pleines de tintements; l'ouïe est obtuse; les veines se tendent et battent; il survient parfois de la fièvre et du frisson. La douleur ne cesse jamais; mais tantôt elle se relâche, tantôt elle est plus intense; le malade crie et s'élance par l'effet de la douleur; une fois levé, il se hâte de retomber sur son lit, et est en proie à la jactitation. Un tel cas est mortel; mais en combien de jours a lieu la crise fatale? c'est ce qu'on ne peut juger, les uns succombant d'une façon, les autres d'une autre. Cependant, en général, la mort arrive dans les sept jours; passant vingt et un jours, les malades guérissent. Il faut, quand la douleur est intense, rafraîchir la tête; le mieux est de la raser, et de mettre dans une vessie ou dans un boyau quelque réfrigérant, par exemple le suc de strychnos (*solanum dulcamara*), et la terre de potier; on applique et on retire tour à tour avant que la substance appliquée ne s'échauffe. On ôte du sang, on purge la tête en mêlant des substances odorantes à du jus de persil. Le vin est défendu absolument. Pour potage le malade prend la décoction d'orge, froide. On relâche le ventre.

2. (*Phlegmasie cérébrale, otite.*) Plénitude douloureuse de l'encéphale : quand la tête est très-douloureuse, en raison de la réplétion de l'encéphale, cela indique impureté; de vives douleurs tiennent toute la tête. Le malade a du délire. Il meurt

om. vulg. — [11] π. ὀ. ἐ. om. FGHKθ. – περὶ περιωδυνίας κεφαλῆς EJP'Q', (Lind., περιωδυνίης). — [12] ἴσχουσαι, al. manu σι H. – Post ἴσχ. addit καὶ παρακοπαὶ θ. – ἐκφύγοι vulg. – ἐκφύγῃ GIJK, Ald., Frob., Lind., Mack. – εἰ EKθ. – ῥαγεῖ θ. – πῦον pro ὑγρὸν θ.

σκει ἑβδομαῖος, καὶ οὐκ ἂν ἐκφύγῃ, εἰ μὴ ῥαγείη τὸ ὑγρὸν ἑβδομαίῳ κατὰ τὰ οὔατα· οὕτω [1]δὲ ἡ ὀδύνη παύεται, καὶ ἔμφρων γίνεται· ῥεῖ δὲ πολλὸν καὶ ἄνοσμον. Τούτου [2]μάλιστα μὲν μὴ θεραπεύειν τὰ οὔατα, πρὶν ἂν ἐῤῥωγὸς ἴδῃς τὸ πῦον· ἢν δὲ βούλῃ καθῆραι τὴν ἄνω καὶ [3]τὴν κάτω κοιλίην, λῦσον χωρὶς ἑκατέρην· ἔπειτα πυριᾶν [4]τὴν κεφαλὴν ὡς μάλιστα ὅλην τε καὶ διὰ τῶν οὐάτων καὶ διὰ τῶν ῥινῶν· ῥοφεῖν δὲ πτισάνης χυλὸν, καὶ ἀοινέειν τὸ πάμπαν. Ἐπὴν δὲ ῥαγῇ τὸ πῦον, ἐπίσχειν, ἔστ' ἂν [5]ἡ πολλὴ τῆς ῥύσιος παύσηται· ἔπειτα κλύζειν τὰ οὔατα οἴνῳ γλυκέϊ ἢ γάλακτι γυναικείῳ ἢ ἐλαίῳ παλαιῷ, χλιαροῖσι δὲ κλύζειν, καὶ πυριᾶν τὴν κεφαλὴν θαμινὰ μαλθακῇσι πυρίῃσι καὶ εὐόδμοισιν, [6]ἵνα θᾶσσον καθαίρηται ὁ ἐγκέφαλος. Οὗτος τὰ μὲν πρῶτα οὐκ ἀΐει, προϊόντος δὲ τοῦ χρόνου ἥ τε ῥύσις ἥσσων ἐστὶ, καὶ ἡ ἀκοὴ ἅμα τῇ ῥύσει παντελῶς παυομένῃ παραγίνεται, καὶ ὁμοιοῦται μάλιστα ἑωυτῷ. [7]Φυλάσσεσθαι δὲ χρὴ ἡλίους, ἀνέμους, πῦρ, καπνὸν, δριμέων ὀδμὰς καὶ τὰ τοιαῦτα, καὶ ἡσυχάζειν διαίτῃ μαλθακῇ χρώμενον, καὶ ὑπὸ κενεαγγειῶν εὔλυτος ἔστω ἡ κοιλίη ἡ κάτω.

3. [8]Βλητοί· οἱ δὲ βλητοὶ λεγόμενοι εἶναι, ὁκόταν ὁ ἐγκέφαλος πλησθῇ πολλῆς ἀκαθαρσίης, ὀδύνην παρέχει τὸ πρόσθεν τῆς κεφαλῆς πρῶτον, καὶ ἀναβλέπειν οὐ δύνανται οἱ μὲν [9]ἀμφοῖν τοῖν ὀφθαλμοῖν, οἱ δὲ θατέρῳ, [10]καὶ κῶμά μιν ἔχει, καὶ ἔκφρονές εἰσι, καὶ οἱ κρόταφοι πηδῶσι, καὶ πυρετὸς λεπτὸς [11]ἔχει καὶ τοῦ σώματος ἀκρασίη. Οὗτος ἀποθνήσκει τριταῖος ἢ πεμπταῖος· ἐς δὲ τὰς ἑπτὰ οὐκ ἀφικνέεται· [12]ἢν δὲ ἄρα ἀφίκηται, ἐξάντης γίνεται. Τοῦτον ἢν βούλῃ θεραπεύειν,

[1] Τε pro δὲ EHIJKθ, Ald., Frob., Mack. – ἥ τε ὀδύνη I, Lind. – ἔκφρων F (H, al. manu) I. — [2] μάλιστα EHKθ. – μᾶλλον vulg. – τὰ οὔατα om. θ. – ἀνεῤῥωγὸς pro ἂν ἐῤ. IJ. – πύος K. — τὴν om. GJ. – λύσον Mack. — [4] μὲν (μὲν om. FIJKθ) τὴν vulg. – ὅλην δὲ (τε EFHIJK, Ald., Frob., Lind., Mack) vulg. – ῥομφεῖν G, Ald. – πτισσ. E. – ἀοινεῖν EHIJK. — [5] ὑπολλὴ (sic), al. manu ἡ π. H. – πολὴ K. – γλυκέει K. – ἐν (ἐν om., H restit. al. manu, θ, Ald.) μαλθ. vulg. – εὐόδμησι K. — [6] ὡς θᾶσσον καθαιρῆται (καθαρεῖται Lind.; καθαιρεῖται EGJ, Ald., Frob.) vulg. – ἵνα θᾶσσον καθαίρηται θ, Mack. – οὗτος μὲν τά γε πρῶτα vulg. – οὗτος τὰ μὲν πρῶτα EHKQ'θ, Mack. – οὐκ ἐσακούει EHK. – οὐδὲν ἀκούει θ. – ὅτε ἡ pro ἥ τε Lind. – ἥσσων EK, Lind. – ἧσσον vulg. – ὁμοιοῦταί τε sine καὶ EHKθ, (Lind., γε). — [7] φυλάττεσθαι vulg. – φυλάσσεσθαι EHIJK. – αὐτὰ pro τὰ τοιαῦτα EFGHIJKθ, Ald. – χρώμενος FGHJK. – καὶ om., restit. al. manu H. – ὑποκεναγγέων (sic) J. – κενεαγγέων vulg. – κεναγγέων G. – κενεαγγείων Lind., Mack. – ἡ κάτω om., restit. al. manu κάτω ante κοιλίη E. — [8] βλ. om. θ. – περὶ βλητῶν EFGHIJK. – εἶναι om. θ. — [9] ἀμφοτέροισι τοῖσιν ὀφθαλμοῖσιν θ. — [10] ἀλλὰ pro καὶ θ. –

le septième jour, sans espoir de salut, si, au septième jour, du liquide ne fait éruption par les oreilles; de cette façon la douleur cesse, et la connaissance revient. Le liquide qui s'écoule est abondant et inodore. Dans cette affection vous ne vous occuperez pas de traiter les oreilles, tant que vous n'aurez pas vu le pus faire éruption. Si vous voulez évacuer par le haut et par le bas, effectuez ces deux opérations séparément. Puis vous donnerez un bain de vapeur à la tête en totalité, et par les oreilles, et par les narines. Pour potage le malade prendra la décoction d'orge. Il s'abstiendra de vin absolument. Quand le pus aura fait éruption, on suspendra toute chose jusqu'à ce que le fort de l'écoulement soit passé; puis on nettoyera les oreilles avec du vin doux ou du lait de femme ou de la vieille huile; ces injections seront tièdes. On soumettra fréquemment la tête à des vapeurs émollientes et suaves, afin que le cerveau se purge plus promptement. D'abord le malade n'entend pas; mais avec le temps le flux diminue, l'ouïe, complétement supprimée pendant le flux, se rétablit, et il redevient tout à fait semblable à lui-même. Il se gardera du soleil, du vent, du feu, de la fumée, des odeurs âcres et choses semblables; il se tiendra en repos, usant d'un régime émollient; à l'aide de la vacuité des vaisseaux le ventre inférieur sera tenu libre.

3. (*Apoplexie ou ramollissement du cerveau. Comp.* des Maladies, II, § 8.) Sidérés : ceux qu'on nomme sidérés sont ainsi. quand l'encéphale se remplit de beaucoup d'impuretés, ils éprouvent d'abord de la douleur à la partie antérieure de la tête; ils ne peuvent voir, les uns des deux yeux, les autres d'un œil; ils sont dans le coma; ils n'ont pas leur connaissance; les tempes battent, il y a une fièvre légère, et le corps est impuissant. Ils meurent le troisième ou le cinquième jour; ils ne vont pas jusqu'au septième; si cependant ils atteignent ce terme, ils réchappent. En ce cas, si vous voulez le traiter, vous ferez prendre un bain de vapeur à la tête; par des inci-

ἄφρονες θ. — [11] ἴσχει E. - τὰ (τὰς FHKLθ, Mack) ἑπτὰ vulg. - ἀπικνέεται L. — [12] εἰ δ' GIJ, Ald. - δ' EHK, Frob.

πυρίαν τὴν κεφαλὴν, καὶ ταμὼν ἀναπνευσιν ποιέειν· ἢν [1]δὲ ὀδύνη ἐστηριγμένη ᾖ, καὶ πταρμοὺς ἐμποιέειν χρὴ, καὶ τὴν κεφαλὴν καθαίρειν κούφοισι καὶ εὐώδεσι, καὶ τὴν κάτω κοιλίην καθαίρειν, ἀοινέειν δὲ τὸ πάμπαν, πτισάνης δὲ χυλῷ χρῆσθαι.

4. [2]Σφακελισμὸς ἐγκεφάλου· ἢν [3] δὲ σφακελίσῃ ὁ ἐγκέφαλος, ὀδύνη ἴσχει τὴν κεφαλὴν, καὶ διὰ τοῦ τραχήλου φοιτᾷ ἐς τὴν ῥάχιν, καὶ αὐτὸν ἐπιλαμβάνει ἀνηκουστίη, καὶ ψῦχος ἐπέρχεται ἐπὶ τὴν κεφαλὴν, καὶ [4]ἰδίει ὅλος, καὶ ἐξαίφνης ἄφωνος δείκνυται, καὶ ἐκ τῶν ῥινῶν αἷμα ῥεῖ, καὶ πελιδνὸς γίνεται. Τοῦτον ἢν μὲν ἡ νοῦσος χαλαρῶς λάβῃ, τοῦ αἵματος ἀπελθόντος, ῥαΐζει· ἢν δὲ σφόδρα ἀπειλημμένος ᾖ, ἀποθνήσκει τάχα. Τούτῳ πταρμούς τε ἐμποιέειν διὰ τῶν εὐωδέων, καὶ τὰς κοιλίας ἄμφω καθαίρειν ἐν μέρει ἑκατέρην, [5]κούφας δὲ ὀδμὰς ἐχόντων τῇσι ῥισὶν ἀείρειν, καὶ ῥόφημα λεπτόν τε καὶ χλιαρόν· ἀοινέειν δὲ τὸ πάμπαν.

5. [6]Λήθαργοι· οἱ δὲ [7]λήθαργοι, στάσις μὲν ἡ αὐτὴ τοῦ κακοῦ τῇ περιπλευμονίῃ, χαλεπωτέρη δὲ καὶ οὐ πάμπαν ἀπήλλακται ὑγρῆς περιπλευμονίης· βραδυτέρη [8]δὲ πουλὺ ἡ νοῦσος. Πάσχει δὲ τάδε· βὴξ καὶ κῶμά μιν ἔχει, καὶ τὸ σίαλον ὑγρὸν καὶ [9]πολὺ ἀνάγει, καὶ ἀδυνατέει σφόδρα, καὶ ὁκόταν μέλλῃ ἀποθανεῖσθαι, [10]κάτω ὑποχωρέει ἐπὶ πολὺ καὶ ὑγρόν. Τούτῳ ἐλπὶς μὲν πάνυ βραχέη περιγενέσθαι· ὅμως δὲ πτύειν τε ποιέειν ὡς πλεῖστον καὶ θερμαίνειν καὶ ἀοινέειν· ἢν δὲ ἐκφύγῃ, ἔμπυος γίνεται.

6. [11]Καυσώδης· ἡ δὲ καυσώδης λεγομένη, δίψα τε ἔχει πολλὴ, καὶ ἡ γλῶσσα πέφριχε, τὸ δὲ χρῶμα αὐτῆς τὸν μὲν πρῶτον χρόνον

[1] Δ' EHK. – ὀδύνην L. – ἔχῃ vulg. – ἐστήκῃ, al. manu ἔχῃ H. – ἐστηριγμένη ᾗ (sic) θ. – χρὴ om. θ. – πτισσ. E. – χρῆσθαι χυλῷ EHK. — [2] σ. ἐγκ. om. Hθ. – ἢν σφακελίσῃ ὁ ἐγκέφαλος pro σφ. ἐγκ. EFGIJK. — [3] δὲ om. E. – ἔχει θ. — [4] οἰδέει vulg. – ἰδίει θ. – γίνεται pro δείκνυται EHK. – ῥέει Lind. – εἰλημμένος ᾖ, θνήσκει vulg. – ἀπειλημμένος (sic) ᾖ ἀποθνήσκει θ. – τάχα om. FGIJ. – ταχέως EHKQ', Lind., Mack. – ἐν μέρει ᾗ (μοίρῃ sine ᾗ Mack) ἑκατέρην (ἑκάτερον Mack) vulg. – Il faut en effet supprimer avec Mack ᾗ, qui provient de la répétition, par iotacisme, de ει finale de μέρει. Mais μέρει peut rester. — [5] καὶ τῶν εὐωδέων (καὶ τ. εὐ. om. θ) κούφας δὲ vulg. – ῥόμφημα G, Ald. – τε καὶ om. θ. — [6] λ. om. θ. – περὶ ληθάργων E FIJK. — [7] λίθαργοι J. – ληθαργικοὶ θ – περιπν. (bis) JK. – χαλαρωτέρη θ. – Post ὑγρῆς addit γὰρ Lind. — [8] δὲ om. Lind. – δ' ἡ νοῦσος πολλὸν θ. – πολὺ EHIJK. – καὶ κῶμά μιν om. θ. — [9] πουλὺ Lind. — [10] πολὺ pro κάτω E. – ἐπὶ om. K. – πουλὺ Lind. – βραχεῖα vulg. – βραχέη θ. — [11] κ. om. θ. – καυσώδης

sions vous y pratiquerez des débridements. Si la douleur est fixée, il faut de plus provoquer des éternuements et purger la tête par des substances légères et suaves; on évacuera le ventre inférieur. Le malade s'abstiendra de vin absolument; il usera de la décoction d'orge.

4. (*Il ne s'agit pas de sphacèle, voyez* des Maladies, II, *le* § 5, *dont celui-ci est une répétition.*) Sphacèle de l'encéphale : si l'encéphale se sphacèle, une douleur tient la tête, et gagne par le cou le rachis; le malade devient sourd; un sentiment de froid s'étend sur la tête; le malade est tout en sueur; il perd soudainement la parole; il rend du sang par les narines, et il devient livide. Si la maladie prend avec une intensité médiocre, il réchappe, du sang s'écoulant; si elle prend avec force, il meurt promptement. En ce cas, on provoquera des éternuements par les substances suaves; on évacuera par le haut et par le bas, alternativement; les odeurs des errhins seront peu actives; le potage sera léger et chaud; le vin est absolument interdit.

5. (*Léthargus ou fièvre pseudo-continue avec somnolence; voy. t.* II, *p.* 572. *Comp.* des Mal., II, § 65.) Léthargus : dans le léthargus le mal a la même constitution que dans la péripneumonie; mais le léthargus est plus difficile, et il ne va guère sans une péripneumonie humide; il a une marche beaucoup plus lente. Voici les accidents: il y a toux et coma; l'expectoration est aqueuse et abondante; le malade est dans une grande faiblesse; et, quand il est sur le point de mourir, il a des selles abondantes et aqueuses. En ce cas, il y a bien peu d'espérance de salut; cependant on le fera expectorer autant que possible, on l'échauffera, on interdira le vin. S'il réchappe, une suppuration se forme.

6. (*Fièvre ardente. Comp.* des Mal., II, § 63.) Fièvre causode : dans la fièvre dite causode, la soif est vive; la langue est rugueuse; d'abord elle conserve sa couleur, mais elle est très-

in marg. al. manu H. – περὶ καυσώδου; EFGIJK. – Post λεγομένη addit [πυρετὸς τὸν ἄνθρωπον σφοδρὸς] Lind.

οἷόν περ εἴωθε, ξηρὴ δὲ σφόδρα· προϊόντος δὲ τοῦ χρόνου σκληρύνεται καὶ [1]τρηχύνεται καὶ παχύνεται καὶ ἐπιμελαίνεται. [2]Ἢν μὲν ἐν ἀρχῇ ταῦτα πάθῃ, θάσσους αἱ κρίσιες γίνονται· ἢν δὲ ὕστερον, χρονιώτεραι· τῆς δὲ ἀφέσιος ταῦτα πάντα ἡ γλῶσσα σημαίνει ἅπερ ἐν τῇ [3]περιπλευμονίῃ· καὶ τὰ οὖρα, χολώδεα μὲν ἢ αἱματώδεα ἐόντα, ἐπίπονα· ξανθὰ δὲ, απονώτερα· καὶ τὸ πτύσμα ὑπὸ θερμασίης καὶ ξηρασίης [4]ξυγκεκχυμένον καὶ παχύ ἐστι· πολλάκις δὲ καὶ ἐς τὴν περιπλευμονίην μεθίσταται, καὶ ἢν μεταστῇ, τάχα ἀποθνήσκει. Τοῦτον [5]δὲ ὧδε χρὴ θεραπεύειν· λούειν θερμῷ δὶς ἢ τρὶς τῆς ἡμέρης ἑκάστης πλὴν τῆς κεφαλῆς, καὶ ἐν τῇσι κρίσεσιν οὐ χρὴ λούειν, καὶ τὰς μὲν πρώτας τῶν ἡμερέων ὑποκαθαίρειν καὶ ὑδροποτέειν· καὶ [6]γὰρ ἔμετον ἄγει τὸ ὕδωρ ὡς ἐπιτοπολύ· τὰς δὲ ὑστέρας μετὰ τὴν κάθαρσιν ὑγραίνειν, καὶ ῥοφήμασι χρῆσθαι καὶ οἴνοισι γλυκέσιν. Ἢν δὲ μὴ ἐξ ἀρχῆς παραλάβῃς, ἀλλὰ ἤδη τῶν ἐν τῇ γλώσσῃ σημηΐων [7]ἐνεόντων, ἐᾷν χρὴ ἕως ἂν αἱ κρίσιες παρέλθωσι [8]καὶ τὰ τῆς γλώσσης σημήϊα ἠπιώτερα γένηται, καὶ μήτε φάρμακον δῷς μήτε κλύσῃς ἐς κάθαρσιν, πρὶν αἱ κρίσιες παρέλθωσιν.

7. [9]Ὁ πλεύμων οἰδέων ὑπὸ τῆς θερμασίης· [10]ὁκόταν ὁ πλεύμων οἰδήσῃ ὑπὸ θερμασίης πλησθεὶς, βὴξ ἴσχει ἰσχυρὴ καὶ σκληρὴ, καὶ ὀρθοπνοίη, καὶ ἀναπνέει ἀθρόον, καὶ ἀσθμαίνει πυκνὸν, καὶ [11]ἰδίει, καὶ τοὺς μυκτῆρας ἀναπετάννυσιν ὥσπερ ἵππος ἐκ δρόμου, καὶ τὴν γλῶσσαν θαμινὰ ἐκβάλλει, καὶ τὰ στήθεα [12]αὐτῷ ἀείδειν δοκέει καὶ βάρος ἐνεῖναι, διὸ χωρέειν οὐ δύναται τὰ στήθεα, ἀλλὰ διαῤῥήγνυται καὶ ἀδυνατέει· [13]ἥ τε ὀδύνη ὀξέη ἴσχει, καὶ τὸ νῶτον καὶ τὰ στήθεα

[1] Τραχ. IJ. – ἔπειτα μελαίνεται pro καὶ ἐπιμελαίνεται θ. — [2] ἢν μὲν οὖν ἐν EH. – ἢν μὲν γὰρ ἐν L. – καὶ ἢν μὲν ἐν Lind. – θάσσους ἐκκρίσιες θ. — [3] περιπν. EHK. – χλωρὰ pro χολώδεα θ. – ἀπορώτερα FGJ. – ὑπερθερμασίης pro ὑπὸ θερμ. HJ. — [4] σ. EHIJ. – συγκαιόμενον K. – καὶ om. θ. – τε pro δὲ Lind. – περιπν. K. – καθίσταται L. — [5] δὲ om. EHK. — [6] γὰρ om. θ. – ἐπιτοπουλὺ GIJ, Ald., Lind. – ῥομφήμασι G, Ald. – οἴνεσι, al. manu οι H. — [7] ἐόντων EHKθ. — [8] καὶ.... παρέλθωσιν om. FGIJ. – γλώττης K. – ἠπ. Ald., Frob. – δοῖς pro δῷς θ. – μήτε κλύσις (κλύσῃς EH, Ald., Frob., Mack) (μήθ' ἑλκύσῃς K) vulg. – πλὴν pro πρὶν θ. — [9] ὁ π. οἰ. ὑ. τ. θερ. om. θ. – ὅταν ὁ πλεύμων οἰδήσῃ ὑπὸ τῆς θερμασίης FG (H, in marg. al. manu). – ὅταν ὁ πνεύμων οἰδήσῃ ὑπερθερμασίης πλησθεὶς E. – ὅταν ὁ πλεύμων οἰδέῃ ὑπὸ θέρμης I. – θέρμης Lind. — [10] ὁκόταν δὲ ὁ EHK (θ, ὅταν). – πνεύμων EGHJK – πλησθῇ ὑπὸ θερμασίης καὶ οἰδήσῃ EHK. – πρισθῇ ὑπὸ φλεγμασίης καὶ οἰδήσῃ θ. – θέρμης Lind. – ἰσχυρὴ καὶ om. EHK. – καὶ σκληρὴ om. θ. –

sèche; au bout de quelque temps elle devient dure, raboteuse, épaisse et noire. Si le malade éprouve ces accidents au début, les crises sont plus promptes; si plus tard, elles sont plus lentes. Pour la solution, la langue a toutes les mêmes significations que dans la péripneumonie. Les urines, étant bilieuses ou sanguinolentes, annoncent de la souffrance; étant jaunes, de la rémission. L'expectoration, par la chaleur et la sécheresse, est brûlée et épaisse. Souvent aussi la maladie se change en péripneumonie; et, cela arrivant, le malade succombe promptement. Dans une telle affection voici ce qu'il faut faire : on lavera à l'eau chaude deux ou trois fois par jour excepté la tête; dans les crises il ne faut pas laver. Les premiers jours, on évacuera modérément, et on fera boire de l'eau. L'eau en effet provoque d'ordinaire le vomissement. Les jours suivants, après l'évacuation, on humectera; on prescrira les potages et les vins doux. Si vous avez le malade, non dès le début, mais alors que les signes sont déjà sur la langue, vous resterez en repos jusqu'à ce que les crises soient passées et que les signes de la langue deviennent meilleurs. Vous ne donnerez ni un évacuant ni un lavement purgatif avant la fin des crises.

7. (*Affection aiguë des voies respiratoires. Comp.* des Maladies, II, § 58.) Le poumon se gonflant par la chaleur : quand le poumon se gonfle rempli par la chaleur, il y a une toux forte et sèche, de l'orthopnée, respiration précipitée, anhélation. Le malade sue; il ouvre les narines comme un cheval après une course; il tire souvent la langue; il lui semble que sa poitrine crie et qu'un poids l'oppresse; pour cela il ne peut dilater la poitrine; mais il éprouve un sentiment de rupture et une grande faiblesse. Il y a une douleur vive; le dos, la poitrine et les côtes sont comme piqués d'aiguilles; il y ressent une brû-

ἀναπνεῖ vulg. – καὶ ἀναπνέει καὶ πυκνὸν καὶ ἀσθμαίνει ἀθρόον θ. – καὶ πυκνὸν ἀσθμαίνει EHK. — [11] οἰδέει vulg. – οἰδίει G. – δίει (E, al. manu οἰδέει) HIJK. – ἰδίει θ. – ὡς ἵππος δραμὼν θ. — [12] αὐτῷ.... στήθεα om. J. – δοκεῖ HK. – ἐνεῖναί τι ὃ (διὸ pro τι ὃ EFGIKθ, Ald., Frob., Lind., Mack) χωρέειν vulg. – διαρήγνυται HI. — [13] ἥδε θ. – ὀξείη vulg. – ὀξέη K. – καὶ om. EHKP'θ. – τόν τε (τε om. θ) νῶτον vulg. – Je pense qu'il faut lire τὸ νῶτον.

καὶ τὰς πλευρὰς ὡς βελόναι κεντέουσι, καὶ καίεται [1]ταῦτα ὡς πρὸς πῦρ καθήμενος, καὶ ἐρυθήματα ἐκφύει ἐς τὸ στῆθος καὶ τὸ νῶτον ὡς φλογοειδέα, καὶ δηγμὸς ἰσχυρὸς ἐμπίπτει, καὶ ἀπορέει, ὥστε οὔτε ἑστάναι οὔτε καθῆσθαι οὔτε κατακεῖσθαι οἷός τέ ἐστιν, [2]ἀλλ' ὧδε ἀπορέων βληστρίζει ἑωυτὸν, καὶ δοκέει ἤδη ἀποθανεῖσθαι· ἀποθνήσκει δὲ μάλιστα τεταρταῖος ἢ ἑβδομαῖος· ἢν δὲ ταύτας διαφύγῃ, οὐ μάλα ἀποθνήσκει. Τοῦτον ἢν θεραπεύῃς, [3]χρὴ τὴν κάτω κοιλίην ὡς τάχιστα καθῆραι κλύσμασι καλῶς, καὶ ἀπὸ τῶν ἀγκώνων καὶ τῆς ῥινὸς καὶ τῆς γλώσσης καὶ πάντοθεν τοῦ σώματος αἷμα ἀφιέναι, καὶ πόματα διδόναι ψυκτικὰ καὶ ῥοφήματα τὰ αὐτὰ δυνάμενα, καὶ τῶν οὐρητικῶν, μὴ [4]θερμαινόντων δὲ, πολλάκις διδόναι· καὶ [5]πρὸς μὲν τὰς ὀδύνας αὐτὰς, ὁκόταν καταιγίζωσι, χλιάσματα κοῦφα καὶ ὑγρὰ χρὴ προσφέροντα χλιαίνειν καὶ ὑγραίνειν τὸν τόπον οὗ ἂν ᾖ ἡ ὀδύνη, [6]πρὸς δὲ τὰ ἄλλα ψυκτήρια προσίσχειν τὰ μὲν ἀφαιρέοντα, τὰ δὲ προστιθέντα, καὶ ὅκου ἂν κατακαίηται, ψῦχος ποιέειν, ἀοινέειν δὲ τὸ πάμπαν.

8. [7]Κεφαλῆς ὀδύνη· ὁκόταν δὲ ἀπὸ τῆς κεφαλῆς ἀρξαμένη [8]ὀδύνη ὀξέη ἄφωνον ποιήσῃ παραχρῆμα, ἄλλως τε καὶ ἐκ μέθης, οὗτος ἀποθνήσκει ἑβδομαῖος. [9]Ἧσσον δὲ οἱ ἐκ τῆς μέθης τοιοῦτόν τι παθόντες καὶ ἄφωνοι μείναντες ἀποθνήσκουσιν· ἢν γὰρ ῥήξωσι φωνὴν αὐθημερὸν ἢ τῇ ὑστεραίῃ ἢ τῇ τρίτῃ, ὑγιέες γίνονται· ποιέουσι [10]δὲ ἐκ τῆς μέθης ἔνιοι τοῦτο, [11]οἱ δ' ἕτεροι ἀπόλλυνται. Τούτοισι πταρμούς τε ἐμποιέειν ἰσχυροὺς, καὶ ὑποκλύσαι ὅ τι ἂν χολὴν ἄξῃ σφόδρα, καὶ

[1] Τὰ ὦτα pro ταῦτα θ. – πυρὶ καθιζόμενος θ. – ἐκφλύει θ. – τὸν νῶτον vulg. – τὸν ὦτον καὶ ὡς φολιδοειδὲς θ. – φλυγοειδέα J. – ἀπορίη vulg. – ἀπορέει E. – ἀπορέη P'. – ὥστε οὔτε κατακεῖσθαι οὔθ' ἵστασθαι οὔτε καθίζεσθαι θ. – οὔτε κατακεῖσθαι om. E. — [2] ἀλλ' ἀπορέει ἀλύων ῥιπτάζει τε ἑωυτὸν θ. – διαφεύγῃ E. – ἐκφύγῃ θ. – ἀποθνήσκει θ. – θνήσκει vulg. — [3] χρὴ om. (H, restit. al. manu) θ. – κοιλίαν K. – κλύσματι FGHθ, Ald., Mack. – εὖ pro καλῶς EHθ. – γλώσσης EHK, Mack. – γλώττης vulg. – τοῦ σώματος om. (H, restit. al. manu) θ. – ἀφιθῆναι (sic) FGJ. – ῥομφήματα G, Ald. — [4] θερμαινομένων E. — [5] ἐς Lind. – προσίσχειν pro προσφέροντα θ. – χλιαίνειν.... ὀδύνη om. θ. – ἡ ὀδύνη ᾖ EHK. — [6] τὸ pro πρὸς θ. – προΐσχειν vulg. – προσίσχειν θ. – τὸ μὲν ἀφ., τὸ δὲ θ. – ἢν pro ὅκου ἂν θ. – κατακέηται vulg. – κατακαίηται EHIJKLθ, Lind., Mack. — [7] κ. ὀ. om. (H, al. manu ὅταν τῆς κεφαλῆς ὀδύνη ἄρξηται) IJθ. – ὅταν ἀπὸ τῆς κεφαλῆς ἡ ὀδύνη ἄρξηται K. – ἢν ἀπὸ κεφαλῆς ἀρξαμένη ἡ ὀδύνη in marg. E. — [8] ἡ (ἡ om. EHIJK) ὀδύνη vulg. – ὀξείη Lind., Mack. – ποιήσει θ. – μέθης ὅταν γένηται (ὅταν γένηται om., H restit. al. manu, θ), οὗτος vulg. — [9] ἧσσον δὲ τοῖσιν ἐκ τῆς μέθης θανάσιμα pro ἧσσον.... ἀπο-

lure comme s'il était assis près du feu ; des rougeurs comme des flammes apparaissent sur la poitrine et le dos. De fortes mordications surviennent; il est dans l'angoisse, de sorte qu'il ne peut rester ni debout ni assis ni couché. Dans cette angoisse il s'agite, et il semble moribond. Il meurt en effet, d'ordinaire, le quatrième ou le septième jour; s'il passe ce terme, il n'est plus guère exposé à succomber. Si vous traitez ce malade, vous évacuerez aussitôt et abondamment le ventre inférieur par les lavements; vous tirerez du sang au pli du bras, aux narines, à la langue et partout. Vous donnerez des boissons rafraîchissantes, des potages ayant même vertu; vous donnerez souvent des diurétiques, qui ne soient pas échauffants. Pour les douleurs mêmes, quand elles sont pressantes, vous échaufferez et humecterez à l'aide d'applications légères et humides le lieu où la douleur est ressentie; pour le reste, vous appliquerez des rafraîchissants, que vous enleverez et remplacerez tour à tour. Là où il y a sentiment de brûlure, vous procurerez du froid. Vous interdirez absolument le vin.

8. (*Affection cérébrale aiguë suite d'un excès de boisson. Comp.* des Maladies, II, § 22.) Douleur de tête : quand une douleur aiguë partant de la tête ôte subitement la parole, principalement après l'ivresse, le patient succombe le septième jour. Ceux qui éprouvent quelque chose de semblable à la suite de l'ivresse et qui demeurent privés de la parole, sont moins exposés à succomber; en effet, si la parole fait éruption le jour même ou le lendemain ou le surlendemain, ils guérissent (Aph. v, 5). A la suite de l'ivresse cette terminaison a lieu chez quelques-uns, mais ceux qui ne parlent pas périssent. En cette affection, vous procurerez de forts éternûments; vous prescrirez des lavements qui évacuent énergiquement la bile. Si le malade reprend ses sens, vous lui donnerez du suc

θνήσκουσιν θ. – θνήσκουσιν vulg. – ἀποθνήσκουσιν K. – ἢ τῇ ὑστεραίῃ om. θ. – τριταῖοι pro τῇ τρίτῃ θ. – εἰσὶ (H, al. manu γίνονται) θ. — [10] δὲ οἱ (οἱ om. Lθ, Mack) ἐκ vulg. — [11] καὶ (καὶ om., H restit. al. manu, θ) οὐδέτεροι (οἱ δ' ἕτεροι θ) vulg. – ὃ pro ὅ τι θ. – ἂν om. (H, restit. al. manu) θ. – ἄξει HKθ.

ἢν ἐπαίσθηται, ὀπὸν θαψίης δοῦναι ἐν πολλῷ τῷ ὑγρῷ καὶ θερμῷ, ἵνα ὡς τάχιστα ἀπεμέσῃ· ἔπειτα [1]ἀπισχναίνειν, καὶ [2]ἀοινέειν ἑπτὰ ἡμέρας· ἀφαιρέειν δὲ καὶ ἀπὸ τῆς γλώσσης αἷμα, ἢν δύνῃ λαβεῖν φλέβα.

9. [3]Φρενίτιδες· [4]φρενίτιδες δὲ γίνονται καὶ ἐξ ἑτέρων νούσων. Πάσχουσι δὲ τάδε· τὰς φρένας ἀλγέουσιν, ὥστε μὴ ἐᾶσαι ἂν ἅψασθαι, καὶ πῦρ ἔχει, καὶ ἔκφρονές εἰσι, καὶ ἀτενὲς βλέπουσι, καὶ τἄλλα παραπλήσια ποιέουσι τοῖσιν ἐν [5]τῇ περιπλευμονίῃ, ὁκόταν οἱ ἐν [6]τῇ περιπλευμονίῃ ἔκφρονες ἔωσι. Τοῦτον χλιαίνειν δεῖ χλιάσμασιν ὑγροῖσι καὶ πόμασι πλὴν οἴνου, [7]καὶ ἢν μὲν οἷός τε ᾖ, ἀποκαθαίρειν ἄνω, βηχί τε καὶ πτύσει ἀνάγειν χρὴ ὥσπερ ἐν τῇ περιπλευμονίῃ· εἰ δὲ μή, τὴν κάτω κοιλίην παρασκευάζειν ὅκως ὑποχωρέῃ· ✓ ὑγραίνειν δὲ πόματι· ἀγαθὸν γάρ. Ἡ δὲ νοῦσος θανατώδης· ἀποθνήσκουσι [8]δὲ τριταῖοι ἢ πεμπταῖοι ἢ ἑβδομαῖοι· ἢν δὲ ἠπίως ληφθῇ, κρίνει ὡς περιπλευμονίη.

10. [9]Κυνάγχη· ὑπὸ δὲ τῆς κυνάγχης καλεομένης πνίγεται ὤνθρωπος, καὶ ἐν τῇ φάρυγγι μᾶλλόν οἱ δοκέει ἐνέχεσθαι, [10]καὶ οὔτε τὸ σίαλον κατασπᾷ [11]οὔτε ἄλλο οὐδὲν, καὶ τὼ ὀφθαλμὼ πονέετόν τε καὶ ἐξέχετον ὡς ἀπαγχομένοισι, καὶ [12]ἐκβλέπει αὐτοῖσιν ἀτενὲς, καὶ ἐπιστρέφειν οὐχ οἷός τέ ἐστιν αὐτοὺς, καὶ λύζει, καὶ ἀναΐσσει θαμινὰ, καὶ τὸ πρόσωπον καὶ ἡ φάρυγξ πίμπραται, ἀτὰρ καὶ ὁ τράχηλος· [13]ὑπὸ δὲ τοῖσιν οὔασιν οὐδὲν κακὸν ἔχειν δοκέει· καὶ ὁρᾷ καὶ ἀκούει ἀμβλύτερον, καὶ ὑπὸ τοῦ πνιγμοῦ οὐκ ἔννοός ἐστιν, οὔτε ἤν τι λέγῃ,

[1] Ἐπισχ. vulg. – ἀπισχ. EHIKQ'θ, Mack. — [2] ἀσινέειν (sic) J. – ἀσιτέειν L, Lind. – γλώττης vulg. – γλώσσης EHIJK, Mack. – αἷμα pro φλέβα L. – [τὴν] φλέβα Lind. — [3] φρ. om. Hθ. – περὶ φρενιτίδων EFGIJK. — [4] φρενίτις δὲ γίνεται μὲν ἐξ θ, (Mack, καὶ pro μέν). – ἑτέρης νούσου EHKθ, Mack. – ἐάσαι I, Frob., Lind., Mack. – ἥκει vulg. – ἔχει θ, Mack. – ἀτενέες vulg. – ἀτενὲς E, Lind., Mack. – τὰ ἄλλα EH. — [5] τῆσι περιπλευμονίησι EHK, Mack. – περιπν. G. — [6] τῆσι περιπλευμονίησι Mack. – περιπν. EGJK. – εἰσὶ pro ἔωσι EGHIJ, Ald. – δεῖ om. (H, restit. al. manu) θ. — [7] κἢν Mack. – περιπν. EHK. – ὅπως EHK. – ὑποχωρέει H, Ald., Frob. – πόμασι Lind. — [8] δὲ EHK, Mack. – γὰρ pro δὲ vulg. – ἢ ἑβδ. om. FGIJ. – ἠπίως Ald., Frob. – κρινέει θ. – περιπν. EK. — [9] κ. om. θ. – νοῦσος ἡ καλεομένη κυνάγχη FG. – ἀπὸ E. – λεγομένης θ. – τε pro πνίγεται θ. – ὁ (ὁ om., restit. al. manu H) ἄνθρωπος vulg. – ὤνθρωπος θ. – φάρυγι I. – οἱ μᾶλλον EHK. – ἀνέχεσθαι (H, al. manu ἐν) K. — [10] καὶ κατασπᾶ οὔτε τὸ σίαλον, al. manu καὶ οὔτε κατ. τὸ σ. H. – κατασπᾶ τὸ σίαλον EK. — [11] οὔτ' G, Ald., Frob. – καὶ οἱ ὀφθαλμοὶ πονέουσί τε καὶ ἐξέχουσιν ὡς

de thapsie dans un liquide abondant et chaud, afin qu'il vomisse aussitôt que possible. Ensuite vous l'atténuerez, et vous lui interdirez le vin pendant sept jours. Vous tirerez aussi du sang de la langue, si vous pouvez saisir la veine.

9. (*Phrénitis ou fièvre pseudo-continue avec délire. Voy. t.* II, *p.* 571 ; *seulement ici l'auteur insiste sur la douleur précordiale, qui, en effet, n'est pas rare dans les fièvres rémittentes.*) Phrénitis : la phrénitis survient aussi à la suite d'autres maladies. Voici les accidents : le malade a la région phrénique douloureuse, à ce point qu'il n'y laisse pas porter la main ; fièvre, délire, regard fixe, et autres accidents semblables à ceux de la péripneumonie, quand dans la péripneumonie il y a délire. En ce cas, on échauffera avec des applications humides et avec des boissons, sauf le vin ; si le malade est en état, on purgera par le haut, et on évacuera par la toux et l'expectoration comme dans la péripneumonie : sinon, on disposera le ventre inférieur de manière qu'il soit libre ; on humectera par les boissons ; car cela est utile. La maladie est dangereuse ; on meurt le troisième jour ou le cinquième ou le septième ; dans le cas où elle est plus modérée, elle se juge comme la péripneumonie.

10. (*Angine.*) Angine : dans la maladie dite angine, le patient est suffoqué ; c'est surtout dans la gorge qu'il lui semble avoir quelque chose. Il ne peut avaler ni la salive ni quoi que ce soit. Les yeux sont douloureux et saillants comme dans la strangulation ; le regard en est fixe ; et le malade ne peut les mouvoir. Il a le hoquet, de la jactitation ; le visage et la gorge s'enflamment, et même le cou. Sous les oreilles il ne paraît avoir aucun mal. La vue et l'ouïe sont plus obtuses. Par l'effet de la suffocation il est hors de sens soit qu'il parle, soit qu'on

ἀγχομένοισι θ. — [12] βλέπει vulg. – βλέπται Frob. – ἐσβλέπει H. – ἐκβλέπει θ. – καὶ στρέφειν σφέας οὐχ οἷός τε sine ἐστιν αὐτοὺς θ. – ἔχει pro ἐστιν GK. – ἔχειν pro ἐστιν E (H, supra lin. al. manu). – ἀλύζει K'. – φάρυξ I. – ἀτὰρ om. θ. — [13] τοῖσι δὲ ὀρέουσιν (οὐρέουσιν G; ὀρέωσιν EHK) (ὑπὸ δὲ τοῖσιν οὔασιν θ) οὐδὲν vulg. – ἀμβλήτερον K.

οὔτε ἤν τι ἀκούῃ ἢ ποιέῃ· ἀλλὰ κεχηνὼς κέεται [1]σιαλοχοέων· τοιάδε [2]ποιέων οὗτος ἀποθνήσκει πεμπταῖος ἢ ἑβδομαῖος ἢ ἐνναταῖος. Ὅταν δὲ τούτων ἀπῇ τι τῶν σημηΐων, χαλαρωτέρην δηλοῖ τὴν νοῦσον, καὶ καλέουσιν αὐτὴν παρακυνάγχην. Τοῦτον φλεβοτομέειν χρὴ, μάλιστα [3]μὲν ὑπὸ τὸν τιτθόν· συνακολουθέει γὰρ ταύτῃ ἐκ τοῦ πλεύμονος θερμὸν πνεῦμα· χρὴ δὲ καὶ τὰ κάτω καθαίρειν φαρμάκῳ ἢ κλύσματι, καὶ τοὺς αὐλίσκους παρῶσαι [4]ἐς τὴν φάρυγγα κατὰ τὰς γνάθους, ὡς ἕλκηται τὸ πνεῦμα ἐς τὸν [5]πλεύμονα, καὶ ποιέειν ὡς τάχιστα πτύσαι, καὶ ἰσχναίνειν τὸν [6]πλεύμονα, καὶ ὑποθυμιᾷν ὕσσωπον κιλίκιον καὶ θεῖον καὶ ἄσφαλτον, καὶ ἕλκειν διὰ τῶν αὐλίσκων καὶ διὰ τῶν ῥινῶν, ὡς [7]ἐξίῃ φλέγμα, καὶ τὴν φάρυγγα καὶ τὴν γλῶσσαν ἀνατρίβειν τοῖσι τὸ φλέγμα ἄγουσι, καὶ τὰς φλέβας τὰς ὑπὸ τῇ γλώσσῃ τάμνειν, ἀφιέναι δὲ [8]αἷμα καὶ ἀπὸ τῶν ἀγκώνων, ἢν ἰσχύῃ· ἀοινεῖν δὲ, καὶ ῥοφεῖν πτισάνης χυλὸν λεπτόν· ἐπειδὰν δὲ [9]ἀφῇ ἡ νοῦσος καὶ σιτίων γεύηται, ἐλατηρίῳ νέῳ καθῆραι, ἵνα μὴ ἑτέρῳ κακῷ περιπέσῃ.

11. [10]Νοῦσος ἴκτερος· ἴκτερος τοιόσδε ἐστὶν ὁ ὀξὺς καὶ διὰ τάχεος ἀποκτείνων· ἡ χροιὴ [11]ὅλη σιδιοειδὴς σφόδρα ἐστὶν ἢ χλωροτέρη οἵη οἱ σαῦροι οἱ χλωροί· παρόμοιος δὲ καὶ [12]ὁ χρὼς, καὶ τῷ οὔρῳ ὑφίσταται οἷον ὀρόβιον πυῤῥόν· καὶ πυρετὸς καὶ φρίκη βληχρὴ ἔχει· ἐνίοτε δὲ καὶ τὸ ἱμάτιον οὐκ ἀνέχεται ἔχων, ἀλλὰ δάκνεται, καὶ ξύεται, καὶ ἄσιτος ἐὼν τὰ ἑωθινὰ τὰ σπλάγχα ἀμύσσεται ὡς ἐπιτοπουλὺ, καὶ ὁκόταν [13]ἐγείρῃ τις αὐτὸν ἢ προσδιαλέγηται, οὐκ ἀνέχεται. Οὗτος ὡς ἐπιτοπολὺ ἀποθνήσκει ἐντὸς τεσσαρεσκαίδεκα ἡμερέων· ταύτας δὲ διαφυγὼν ὑγιὴς γίνεται. Χρὴ δὲ θερμολουτέειν, [14]καὶ πίνειν μελίκρη-

[1] Σιαλοχέων (σιαλ. om. θ) vulg.– σιαλοχοέων Lobeck, Phryn. Ecl., p. 572. — [2] πονέων Lind. – ἐνατ. HK. – Post ἐνν. addit παρακυνάγκη vulg. – παρακυνάγχη om. GKθ. – σημηΐων EHK. – σημείων vulg. – αὐτὴν om. (H, restit. al. manu) θ. — [3] μὲν HIJθ, Mack. – δὲ pro μὲν vulg. – παρὰ pro ὑπὸ L. – τὸν om. θ. – πνεύμονος EHK. — [4] εἰς E. – ἐς om. Lind. – φάρυγα IJ. – ἕλκυται Ald., Frob. — [5] πν. K. — [6] πν. K. – ὑπ. δὴ (δὲ HIJK, Lind.; δεῖ, al. manu δὴ E) (δὴ om. θ) ὕσσωπον (ὕσωπον KJ) vulg. — [7] ἐξέλῃ L. – φάρυγα J. – γλῶσσαν EH, Mack. – γλῶτταν vulg. – ἐν τοῖσι FGIJ, Lind. – τὸ θ. – τὸ om. vulg. — [8] αἷμα om (H, restit. al. manu) θ. – ἐκ pro ἀπὸ EK. – ῥοφῆν G, Ald., Frob. – πτισσ. E. – λεπτὸν om. θ. — [9] ἀνῇ θ. – περικαθῆραι θ. — [10] ν. ἴ. om. θ. – νοῦσος om. EIJK. – ἴκτερος δ' ὅτοιος (sic) δ' ἔστιν ὀξὺς θ. – ἐστὶν om. J. – ὁ om. EHK, Lind., Mack. – ὀξύς τε EHK. – ταχέως vulg. – ταχέος GI, Ald., Frob. – τάχεος EHK. — [11] δὲ ὅλη Lind. – ἐστι (addit δὲ Lind.) χλ.. οἵη (οἷοι

lui parle, soit qu'il fasse quelque chose; il gît la bouche ouverte, et salivant. Avec ces accidents le malade meurt le cinquième jour, ou le septième ou le neuvième. Quand il manque quelqu'un de ces signes, cela montre que la maladie est moins sévère, et on la nomme paracynanche. On saignera, surtout sous la mamelle; par cette voie en effet un souffle chaud sort du poumon avec le sang. Il faut aussi évacuer par le bas à l'aide d'un évacuant ou d'un clystère. On introduira les canules dans la gorge le long des mâchoires, afin que l'air soit attiré dans le poumon. On fera cracher le malade aussitôt que possible; on atténuera le poumon. On fera une fumigation avec l'hysope de Cilicie, le soufre et l'asphalte; il attirera cette fumigation par les canules et par les narines afin que du phlegme sorte. On enduira la gorge et la langue avec des phlegmagogues. On ouvrira les veines sublinguales; on tirera aussi du sang au pli du bras si les forces sont bonnes. Le malade s'abstiendra de vin, et, pour potage, usera d'une décoction d'orge légère. Quand la maladie a cédé et qu'il commence à manger, on le purgera avec de l'élatérion récent, afin qu'il ne retombe pas dans une autre maladie.

11. (*Ictère.*) Ictère : l'ictère aigu et tuant rapidement est tel : couleur tout à fait semblable à celle d'une grenade, ou plus verte et telle que celle des lézards verts. L'intérieur est de même couleur; et l'urine dépose un sédiment rougeâtre comme de l'ers. Il y a de la fièvre et des frissons légers; parfois le malade ne peut supporter sa couverture; il ressent des morsures et des piqûres. A jeun, le matin, il éprouve généralement des déchirements dans les viscères; et, quand on l'éveille ou qu'on

Mack; ἢ HK; ἤ E) οἱ (οἱ om. K) vulg. – J'ajoute ἢ avant χλωρ. – ὅμοιος θ. — [12] ὠχρὸς pro ὁ χρὼς GJ, Ald. – καὶ ἐν τῷ L, Lind., Mack. – ἀφίσταται H. – ἐφίσταται E. – ἴσχει θ. – ἐπὶ τὸ πολὺ EHIJK. — [13] ἀναστήσῃ EP'. – ἀναστῇ, al. manu ἐγείρῃ H. – ἀνιστῇ θ. – ἐγείρει J. – ἀνέχηται G, Ald. – ἐπὶ τὸ πουλὺ Lind. – ἡμερέων EHIJK, Mack. – ἡμερῶν vulg. – γίνεται om. θ. — [14] τε καὶ E, Mack. – σὺν.... τοῦτο om. θ. – συγκαρίων GJ. – συγκαρύων I. – θασσίων GJ, Ald., Frob. – θασίω E. – Post λεπ. addunt χυλῷ L, Lind. – ἀννίσου H. – ἀνήσου EK. – [καὶ] ἀνίσου Lind. – σεσημένου IJ, Lind.

τον σὺν καρύων θασίων λεπισθέντων καὶ ἀψινθίου κόμης ἴσον, ἀνίσου σεσησμένου ἥμισυ, [1]πίνειν ὁλκῆς τριώβολον νῆστις, καὶ πάλιν ἐς κοίτην τὸ μελίκρητον τοῦτο, καὶ οἶνον παλαιὸν λεπτὸν, καὶ ῥοφήματα· ἀσιτέειν δὲ μή.

12. [2]Τέτανος· [3]οἱ τέτανοι ὅταν ἐπιλάβωσιν, αἱ γένυες πεπήγασιν ὡς ξύλα, καὶ τὸ στόμα διοίγειν οὐ δύνανται, καὶ οἱ ὀφθαλμοὶ δακρύουσί τε καὶ ἰλλαίνονται, καὶ τὸ μετάφρενον πέπηγε, καὶ τὰ σκέλεα οὐ δύνανται συνάγειν, ὁμοίως [4]οὐδὲ τὼ χεῖρε, καὶ τὸ πρόσωπον ἐρεύθει, καὶ σφόδρα ὀδυνᾶται, καὶ ὁκόταν ἀποθνήσκειν μέλλῃ, ἀνεμέει διὰ τῶν ῥινῶν καὶ [5]τὸ πόμα καὶ τὸ ῥόφημα καὶ τὸ φλέγμα. Οὗτος τριταῖος ἢ πεμπταῖος ἢ ἑβδομαῖος ἢ τεσσαρεσκαιδεκαταῖος ἀπόλλυται· ταύτας δὲ διαφυγὼν ὑγιὴς γίνεται. Τούτῳ διδόναι [6]καταπότια, πέπερι καὶ ἐλλέβορον μέλανα, καὶ ζωμὸν ὀρνιθείων πίονα θερμὸν, καὶ πταρμοὺς ἰσχυροὺς καὶ [7]πολλοὺς ἐμποιέειν, καὶ πυριᾷν· ὁκόταν δὲ μὴ πυριῆται, τὰ χλιάσματα προστιθέναι ὑγρὰ καὶ λιπαρὰ ἐν κύστεσι καὶ ἀσκίοισι πανταχόθεν, μάλιστα [8]δὲ πρὸς τὰ ὀδυνώδεα, καὶ ἀλείφειν θερμῷ καὶ πολλῷ καὶ πολλάκις.

13. [9]Ὀπισθότονος· ὅταν δὲ ὀπισθότονος ἴσχῃ, τὰ μὲν ἄλλα ὡς ἐπιτοπολὺ τὰ αὐτὰ, σπᾶται δὲ ἐς τοὔπισθεν, καὶ βοᾷ ἐνίοτε, καὶ ὀδύναι ἴσχουσιν ἰσχυραὶ, καὶ συνάγειν ἐνίοτε οὐκ ἐᾷ τὰ σκέλεα οὐδὲ τὰς χεῖρας ἐκτεῖναι· [10]ξυγκεκαμμένοι γὰρ οἱ ἀγκῶνες γίνονται, καὶ τοὺς δακτύλους πὺξ ἔχει, καὶ τὸν μέγαν δάκτυλον τοῖσιν ἄλλοισι κατέχει ὡς ἐπιτοπουλὺ, [11]καὶ φλυηρέει ἐνίοτε, καὶ οὐ δύναται ἑωυτὸν κατέχειν, ἀλλ' ἀναΐσσει ἐνίοτε, ὅταν ἡ ὀδύνη ἔχῃ· [12]ὅταν δὲ ἀνῇ ἡ ὀδύνη, ἡσυχίην ἔχει· ἐνίοτε δὲ καὶ ἄφωνοι γίνονται ἅμα ἁλισκόμενοι

[1] Πίνειν [δὲ] Lind. – τριώβολον I. – τριόβολον vulg. — [2] τέτανοι E. – τέτανος om. θ. – περὶ τετάνων L. — [3] οἱ δὲ τέτανοι θ. – Addunt ἣν ante ὅταν G, Ald. – ἣν pro ὅταν EHIKθ. – αἱ EHKθ, Lind., Mack. – οἱ pro αἱ vulg. – γέννυες G (H, al. manu) IJK. – ξύλιναι θ. – καὶ τὸ στόμα διαίρειν· καὶ τοὺς ὀφθαλμοὺς δακρύοντες ἅμα ἰλλαίνονται θ. – δύναται GIJ. — [4] δὲ pro οὐδὲ J. – τὰς χεῖρας θ. – ἐρεύθει καὶ om. θ. – ἀνοιδέει pro ἀνεμέει FGIJ. — [5] τὸ om. θ. – ῥύφημα EGHIJK, Ald. — [6] κατάπομα E (H, al. manu καταπότια) P'Q'θ, Lind., Mack. — [7] πολλὰ EK. – ὁπόταν HK. – ὑγρὰ προστιθέναι E. — [8] δὲ om. θ. – ὀδυνώδεα EHKQ'θ, Lind. – ὀδυνώμενα vulg. — [9] ὀπ. om. θ. – περὶ ὀπισθοτόνου L. – ὁ pro ὅταν θ. – ἴσχῃ om. (H, restit. al. manu) θ. – ἴσχει JK. – ἐπὶ τὸ πουλὺ Lind. – ταυτὰ Lind. – ὡσαύτως pro τὰ αὐτὰ θ. – ἐς E. – εἰς vulg. — [10] σ. EHK. – ξυγκεκαυμένοι G (I, σ) JL. – τείνονται pro γίνονται GIJKL. – ἐπὶ τὸ πολὺ EHI. — [11] καὶ βοᾷ (κ. β. om.

lui parle, il s'irrite. Un tel malade succombe d'ordinaire en quatorze jours; passant ce terme, il guérit. Il prendra des bains chauds; il boira du mélicrat avec noix de Thasos (*avelines*) pelées et feuilles d'absinthe, quantité égale, moitié d'anis criblé; il prendra de ce mélicrat la dose de trois oboles (*obole* = 0gr,54) à jeun, et derechef en se couchant. Il boira un vin vieux léger et usera de potages. Il ne s'abstiendra pas d'aliments.

12. (*Tétanos.*) Tétanos : quand le tétanos se déclare, les mâchoires deviennent rigides comme du bois, la bouche ne peut s'ouvrir, les yeux larmoyent et ont du strabisme; le dos est rigide; les jambes ni les bras ne peuvent être rapprochés; le visage est rouge. Le malade souffre beaucoup; et, quand il est sur le point de mourir, il rejette par les narines la boisson, le potage et le phlegme. Il meurt le troisième jour ou le cinquième ou le septième ou le quatorzième. Passant ce terme, il guérit. A ce malade on donnera des pilules de poivre et d'hellébore noir dans du bouillon gras et chaud de volaille; on provoquera des éternuements forts et répétés; on prescrira des bains de vapeurs. Quand on ne donne pas de bains de vapeurs, on fera des applications chaudes, humides et grasses en des vessies et en des outres sur tous les points du corps, mais particulièrement sur les points douloureux. On fera des onctions chaudes et abondantes à plusieurs reprises.

13. (*Opisthotonos.*) Opisthotonos : quand il y a opisthotonos, les accidents sont à peu près les mêmes, mais le spasme est en arrière; le malade crie parfois; il est en proie à de violentes douleurs; et parfois le spasme ne lui permet ni de rapprocher les jambes ni d'étendre les bras; car les avant-bras sont pliés, le poing est fermé de telle sorte qu'en général le pouce est serré par les autres doigts. Il délire parfois; il ne peut se contenir, il se lance quand la douleur est pressante; mais, quand la douleur se relâche, il se tient en repos. Parfois encore, dès le début, il perd la parole ou est saisi d'un

FGIL) καὶ φλυαρέει (φλυαρεῖ E; φλυηρέει θ) vulg. – ἀλλὰ JK. — [12] ὅτε δὲ ἀνίησιν θ.

[1] ἢ μανικοί τε καὶ μελαγχολικοί. Οὗτοι τριταῖοι ἀποθνήσκουσι τῆς φωνῆς λυθείσης καὶ ἀνεμέουσι διὰ τῶν ῥινῶν· εἰ δὲ φθάσουσι φυγεῖν τὰς τεσσαρεσκαίδεκα, ὑγιέες γίνονται. Θεραπεύειν δὲ ὡς τὸν ἄνω. Ἢν δὲ βούλῃ, καὶ ὧδε ποιέειν· ὕδωρ ὡς πλεῖστον ψυχρὸν καταχέας, [2] ἔπειτα ἱμάτια λεπτὰ καὶ καθαρὰ καὶ θερμὰ ἐπιβάλλειν, πῦρ δὲ τότε μὴ προσφέρειν. Οὕτω χρὴ ποιέειν καὶ τοὺς τετάνους καὶ τοὺς ὀπισθοτόνους.

14. [3] Εἰλεοί· εἰλεοὶ δὲ γίνονται [4] τῆς μὲν ἄνω κοιλίης θερμαινομένης, τῆς δὲ κάτω ψυχομένης· [5] ξυναυαίνεται γὰρ τὸ ἔντερον, [6] καὶ ξυμπιλέεται ὑπὸ τῆς φλεγμασίης, ὥστε μήτε τὸ πνεῦμα μήτε τὰς τροφὰς διεξιέναι, ἀλλὰ τὴν γαστέρα σκληρὴν εἶναι, καὶ ἐμέειν ἐνίοτε, πρῶτον μὲν φλεγματώδεα, ἔπειτα [7] δὲ χολώδεα, τελευτῶν δὲ κόπρον· καὶ δίψαν ἔχει, καὶ ὀδύνη [8] ἔχει μάλιστα μὲν περὶ τὰ ὑποχόνδρια, ἀλγέει δὲ καὶ πᾶσαν τὴν γαστέρα, καὶ πεφύσηται, καὶ λύζει, καὶ πυρετοὶ ἐπιλαμβάνουσιν. [9] Γίνεται δὲ μάλιστα μετοπώρου· ἀποθνήσκει δὲ μάλιστα ἑβδομαῖος. [10] Τούτους ὧδε χρὴ θεραπεύειν· καθῆραι τὴν ἄνω κοιλίην ὡς τάχιστα, καὶ αἷμα ἀφαιρέειν ἀπὸ τῆς κεφαλῆς καὶ τῶν ἀγκώνων, ἵνα παύσηται ἡ ἄνω κοιλίη [11] θερμαινομένη, καὶ ψύχειν τὰ ἄνω τῶν φρενῶν πλὴν τῆς καρδίης· τὰ δὲ κάτω θερμαίνειν ἐν σκάφῃ ὕδατος θερμοῦ καθίζων τὸν ἄνθρωπον καὶ ἀλείφων αἰεὶ, καὶ χλιάσματα ὑγρὰ προστιθέναι· καὶ βάλανον μέλιτος [12] μόνου ποιέων ὡς δεκαδάκτυλον, ἐξ ἄκρου χολὴν ταύρου [13] ἐς τὸ πρόσθεν ἐπιπλάσσων, πρόσθες καὶ δὶς καὶ τρὶς, ἕως πάντα τὰ [14] ξυγκεχαυμένα περὶ τὸν ἀρχὸν ἐξαγάγῃς τῆς κόπρου. Κῆν μὲν οὕτως ὑπακούῃ, κλύζειν ἐπὶ τού-

[1] Οἱ pro ἢ K. – ἢ pro καὶ θ. – ἀποθνήσκουσι θ. – θνήσκουσι vulg. – ῥινῶν· καὶ οὗτοι τὰς τεσσαρεσκαίδεκα φυγόντες EHKQ'. – ῥινῶν καὶ οὐάτων τὰς δὲ τέσσαρες καίδεκα (sic) διαφυγὼν ὑγιὴς sine γίνονται θ. — [2] ἐπὶ τὰ ἱμάτια θερμὰ καὶ καθαρὰ καὶ πολλὰ καὶ λεπτὰ ἐπιβάλλειν θ. – τότε om. θ. – οὕτως vulg. – οὕτω E. – ὧδε καὶ τοὺς τετάνους καὶ τοὺς ὀπισθοτόνους ποιέειν (H, al. manu vulgata lectione restituta) (θ, τετανίκους, ὀπισθοτονίκους). – ποιέειν post ὀπισθοτόνους E. — [3] εἰ. om. θ. – περὶ εἰλεῶν EK. – δὲ om., restit. al. manu H. — [4] τῆς ἄνω κοιλίης θερμ. καὶ τῆς κάτω θ. — [5] σ. EHIJ. – συναυένεται K. — [6] καὶ ξ. ὑ. τ. φλ. om. θ. – συμπ. EHIJK. – πρῶτα FGIJ. – μετὰ pro μὲν Mack. — [7] δὲ om. Jθ. – ὀδύνην vulg. – ὀδύνη Eθ. — [8] ἔχει θ. – ἔχει om. vulg. – πρὸς (H, al. manu περὶ) θ. – ὅλην pro πᾶσαν θ. – καὶ πεφ. καὶ λύζει om. θ. — [9] γίνεται δὲ μάλιστα μεθοπώρου (sic)· ἀποθνήσκει δὲ μάλιστα ἑβδομαῖος θ. – γίνονται δὲ μάλιστα ἑβδομαῖοι pro γίνεται.... ἑβδομαῖος vulg. — [10] τοῦτον θ. – χρὴ om. θ. – καθάραι I. – καθῆραι Mack. — [11] θερμαίνουσα θ. –

transport maniaque ou mélancolique. En de tels cas on meurt le troisième jour, la voix se déliant (Coaque, 355), et on rejette par les narines; mais, si l'on dépasse quatorze jours, on guérit. Vous traiterez comme dans le cas précédent. Si vous voulez, vous pouvez encore employer ce procédé-ci : versez de l'eau froide en grande abondance, puis jetez des couvertures légères, propres et chaudes, et en ce moment n'approchez pas le feu (Aph. V, 21; de l'Usage des liquides, § 6). Voilà le traitement des tétanos et des opisthotonos.

14. (*Iléus; insufflation d'air dans les intestins.*) Iléus : l'iléus est produit par l'échauffement du ventre supérieur, tandis que l'inférieur est refroidi. En effet l'intestin est desséché et condensé par la phlegmasie, de sorte que ni l'air ni les aliments ne le traversent; le ventre est resserré, et il y a parfois des vomissements, d'abord de matières pituiteuses, puis bilieuses et finalement fécales. Le malade est altéré, il ressent de la douleur surtout aux hypochondres, mais aussi dans tout le ventre. Il est météorisé, il a le hoquet; des fièvres le saisissent. Cette maladie survient surtout en automne; elle tue d'ordinaire au septième jour. Voici le traitement : on évacuera par le haut aussitôt que possible; on tirera du sang de la tête et du pli du bras, afin que le ventre supérieur cesse de s'échauffer. On rafraîchira les parties au-dessus de la région phrénique excepté le cœur. On échauffera les parties au-dessous, en faisant asseoir le malade dans un baquet d'eau chaude, en l'oignant sans cesse, et en faisant des applications chaudes humides. On fera encore avec du miel seul un suppositoire long de dix doigts, on enduira l'extrémité avec de la bile de taureau; ce suppositoire sera introduit et deux et trois fois jusqu'à ce que tous les excréments calcinés dans le rectum soient expulsés. Si

σκάφει vulg. - σκάφη EHIJKLθ, Lind., Mack. - τὸν ἄνθρωπον om. (H, restit. al. manu) θ. - ἀλείφειν θ. - ἀεὶ vulg. - αἰεὶ θ. — [12] μόνου θ, Mack. - μόνον vulg. - ποιέειν Lind. - δέκα δακτύλων θ, Mack. - δὲ δάκτυλον pro δεκαδάκτυλον FGIJ. - ἄκρῳ Lind. — [13] ὡς pro ἐς θ. - ἐπιπάσσων EHK. - προσπλάσσων θ. - ὡς (ἕως K'θ, Mack) πάντα vulg. — [14] σ. EHIJK. - τῶν ἀρχ. GHIJ, Ald. - ἐξάγῃς H.

τοισιν· [1] ἢν δὲ μὴ, φῦσαν λαβὼν χαλκευτικὴν, ἐσιέναι φῦσαν ἐς τὴν κοιλίην, ἵνα διαστήσῃς τήν τε κοιλίην καὶ τὴν τοῦ ἐντέρου σύστασιν· εἶτα πάλιν [2] ἐξελὼν τὴν φῦσαν κλύσαι εὐθύς· ἕτοιμον δ' ἔστω τὸ κλύσμα, μὴ πάνυ τῶν θερμαντικῶν, ἀλλὰ [3] τῶν διαλυόντων τὰς κόπρους καὶ τηκόντων· εἶτα βύσας τὴν ἕδρην σπόγγῳ, καθήσθω ἐν ὕδατι θερμῷ κατέχων τὸ κλύσμα, καὶ ἢν δέξηται τὸ κλύσμα καὶ πάλιν μεθῇ, ὑγιὴς γίνεται. Ἐν δὲ [4] τῷ πρόσθεν χρόνῳ μέλι τε ὡς κάλλιστον λειχέτω, καὶ οἶνον αὐτίτην πινέτω εὔζωρον. Ἢν δὲ τοῦ εἰλεοῦ ἀφέντος πυρετὸς [5] αὐτὸν ἐπιλάβῃ, ἀνέλπιστος· ἴσως γὰρ καὶ ἡ κάτω κοιλίη λυθεῖσα συναποκτείνειεν ἄν.

15. [6] Περιπλευμονίη· ἡ δὲ [7] περιπλευμονίη τοιάδε ποιέει· πυρετός τε ὀξὺς ἔχει, καὶ τὸ πνεῦμα πυκνὸν, καὶ θερμὸν ἀναπνέει, καὶ ἀπορίη, καὶ ἀδυναμίη, καὶ ῥιπτασμὸς, καὶ ὀδύνη ὑπὸ τὴν ὠμοπλάτην καὶ [8] εἰς τὴν κληῖδα καὶ [9] ἐς τὸν τιτθὸν, καὶ βάρος ἐν τοῖσι στήθεσιν, ἐνίοτε δὲ καὶ παραφροσύνη. Ἔστι [10] δ' οἷσιν ἀνώδυνός ἐστιν, ἕως ἂν ἄρξωνται βήσσειν· πολυχρονιωτέρη δὲ καὶ χαλεπωτέρη κείνης. Τὸ δὲ σίαλον [11] λεπτὸν καὶ ἀφρῶδες πτύει τὸ πρῶτον. Ἡ δὲ γλῶσσα ξανθή· προϊόντος δὲ τοῦ χρόνου μελαίνεται· ἢν μὲν οὖν ἐν ἀρχῇ [12] μελαίνηται, θάσσους αἱ ἀπαλλαγαί· ἢν [13] δὲ ὕστερον, σχολαίτεραι· τελευτῶσι δὲ καὶ ῥήγνυται ἡ γλῶσσα, [14] καὶ ἢν προσθῇς τὸν δάκτυλον, ἔχεται· τὴν δὲ ἀπάλλαξιν τῆς νούσου σημαίνει ἡ γλῶσσα, ὥσπερ καὶ ἐν τῇ πλευρίτιδι ὁμοίως. Ταῦτα δὲ πάσχει ἡμέρας τεσσαρεσκαίδεκα τοὐλάχιστον, τὸ πλεῖστον δὲ εἴκοσι καὶ μίαν, καὶ βήσσει τοῦτον τὸν χρόνον σφόδρα, καὶ καθαίρεται ἅμα τῇ βηχὶ, τὸ μὲν πρῶτον πολὺ

[1] Εἰ EHKθ. – λαβὼν EFGHIJKθ, Ald. – λαβὼν om. vulg. – ἐσιέναι καὶ (καὶ om. θ) φυσᾶν vulg. – Supprimez καὶ et lisez φῦσαν. – σύσταλσιν (Ġ, al. manu), Ald. — [2] ἐκφέρων θ. – κλύσαι· εὐθὺς δὲ (δ' EHK) ἕτοιμον vulg. – κλύσαι εὐθύς· ἕτοιμον δ' θ. – πολὺ pro πάνυ θ. – πάντων pro πάνυ τῶν J. – καὶ pro ἀλλὰ θ. — [3] τῶν om. EHKθ. – γίνεται om. θ. — [4] τὸ J. – τε om. Lind. – τέως G, Ald. – αὐγίτην vulg. – αὐγίτιν H. – αὐτίτην θ, Lind., Mack. – ἔγχωρον vulg. – ἔνχωρον HK. – εὔζωρον θ, Mack. – Erot. Gl. : δεινὸν (l. οἶνον) αὐτίτην, τὸν απαράχυτον· ὡς καὶ Πολύζηλος ἐν Δήμῳ Τυνδάρεων φησὶν, ἄμαθα γὰρ αὐτίταν πᾶσί τε θεοξενίης ἐγένετο. Autre est l'explication de Gal. Gl. : αὐτίτην οἶνον, τὸν αὐτοετίτην, τὸν ἐκ τοῦ ἐνεστῶτος ἔτους. — [5] αὐτὸν om. θ. – καὶ om. θ. – συναποκτείνειεν EHKθ. – ἀποκτείνειεν vulg. — [6] π. om. θ. – περιπν. GK. – περὶ πλευμονίης EF. — [7] περιπν. G. – ἰσχυρὸς pro ὀξὺς θ. – ἴσχει Eθ. – πυκινὸν EKθ, Ald. – πυκινὸν καὶ πυκνὸν pro πυκνὸν καὶ θερμὸν FGIJ. – ὠμοπλάτιν E. — [8] ἐς Lind. — [9] εἰς EGHIJK, Ald., Frob. – ἐνίοτε δὲ om. θ. – παραφρονεῖ

cela réussit, on fera prendre un lavement; sinon, on prendra un soufflet de forge, et on introduira de l'air dans le ventre afin de dilater et le ventre et l'intestin contracté; alors, faisant sortir l'air, on administrera aussitôt un lavement. Le lavement doit être prêt; il sera composé de substances qui n'échauffent pas beaucoup, mais qui dissolvent et fondent les excréments. Puis, enfonçant une éponge dans l'anus, le malade s'asseoira dans de l'eau chaude, gardant le lavement; s'il reçoit et puis rend le lavement, il guérit. Auparavant, il prendra en éclegme de l'excellent miel et boira du vin de l'année non coupé. Si, l'iléus ayant cédé, la fièvre survient, le cas est désespéré; car sans doute le flux de ventre entraînera la mort.

15. (*Péripneumonie.*) Péripneumonie : la péripneumonie cause ces accidents : il y a fièvre aiguë, respiration fréquente, expiration chaude, angoisse, faiblesse, jactitation, douleur sous l'omoplate, à la clavicule, à la mamelle, pesanteur dans la poitrine, et parfois délire. Chez quelques-uns la péripneumonie est indolente jusqu'à ce qu'ils commencent à tousser; mais elle est plus longue et plus difficile que l'autre. L'expectoration est d'abord ténue et écumeuse. La langue est jaune; au bout de quelque temps elle noircit. Si elle est noire dès le début, les solutions sont plus promptes; si plus tard, elles sont plus lentes. Vers la fin la langue se gerce aussi, et le doigt, si on l'y applique, s'y colle. La langue donne pour la solution de la maladie les mêmes signes que dans la pleurésie. Le malade présente ces accidents pendant quatorze jours au moins, pendant vingt et un jours au plus; il tousse beaucoup tout ce temps, et avec la toux il se purge de matières d'abord abondantes, écumeuses, puis, au septième jour et au huitième,

EFG (H, al. manu) IJKLP'Q'. — [10] δὲ EK. – ἂν om. θ. – ἦν pro ἂν GHJK, Ald., Frob., Lind. — [11] λευκὸν EHKP'Q'θ, Lind., Mack. – καὶ ἡ γλῶσσα θ. — [12] μελαίνοιτο EFGIK, Ald. – μελεδαίνοιτο J. – ἀπαλλάξιες θ. – κρίσιες Codd. quidam ap. Foes in not. — [13] δ' EK. — [14] καὶ.... γλῶσσα om. J. – εἰ GI. – προσθεὶς GI, Ald., Frob. – θράσσεται pro ἔχεται θ. – ἦν pro τὴν GI. – σημαίνη G. – ὁμοίως δὲ ταῦτα J. – ταῦτα καὶ pro ταῦτα δὲ Lind. – πουλὺ Lind.

καὶ ἀφρῶδες σίαλον, ἑβδόμῃ [1] δὲ καὶ ὀγδόῃ, ὁκόταν ὁ πυρετὸς ἐνακμάζῃ, ἢν [2] ὑγρὴ ἡ περιπλευμονίη ἔῃ, παχύτερον· [3] ἢν δὲ μὴ, οὔ· ἐννάτῃ [4] δὲ καὶ δεκάτῃ ὑπόχλωρον καὶ ὕφαιμον, δωδεκάτῃ δὲ μέχρι τῆς τεσσαρεσκαιδεκάτης πουλὺ καὶ πυῶδες. [5] Ὧν ὑγραί εἰσιν αἵ τε φύσιες καὶ [6] αἱ διαθέσιες τοῦ σώματος, αὐτὰρ καὶ ἡ νοῦσος ἰσχυρή· ὧν δὲ ἥ τε φύσις καὶ ἡ κατάστασις τῆς νούσου ξηρὴ, ἧσσον οὗτοι. Ἢν μὲν οὖν [7] τῇ πέμπτῃ καὶ ἕκτῃ ἐπὶ δέκα ξηρανθῇ καὶ μηκέτι ἀποβήσσῃ πυῶδες, ὑγιής ἐστιν· ἢν δὲ μὴ, πρόσεχε πρὸς τὰς εἴκοσι δυοῖν δεούσας καὶ τὰς εἴκοσι καὶ μίαν τὸν νόον, καὶ ἢν μὲν ἐνταῦθα παύσηται τοῦ πτύσματος· [8] ἢν δὲ μὴ, ἔρου αὐτὸν, εἰ γλυκύτερον τὸ σίαλον, καὶ ἢν [9] μὲν φῇ, ἴσθι ὅτι ὁ πλεύμων αὐτῷ ἔμπυός ἐστι καὶ ἡ νοῦσος καθίσταται ἐνιαυσίη, ἢν μὴ ἐν τῇσι τεσσαράκοντα ἡμέρῃσι σπεύδων ἀναγάγῃ τὸ πῦον· ἢν δὲ φῇ ἀηδὲς εἶναι τὸ σίαλον, θανατώδης ἡ στάσις τῆς νούσου. Ἀλλ' ἐν τῇσι [10] πρώτῃσιν ἡμέρῃσι μάλιστα διαδηλοῖ· ἢν γὰρ ἐκπτύσῃ τὸ σαπὲν καὶ τὸ πυωθὲν ἐν ἡμέρῃσι δύο καὶ εἴκοσι καὶ μὴ ἑλκωθῇ, ἐκφεύγει· [11] ἢν δὲ μὴ, οὔ. Αὕτη ἡ περιπλευμονίη οὐδὲν ἀπολείπει [12] τῶν ἐκ περιπλευμονίης κακῶν· ἢν οὖν τι τούτων ἀπῇ τῶν κακῶν, εἰδέναι χρὴ τοσοῦδε δέουσαν τῷ κάμνοντι ἔχειν καὶ τῷ [13] ἰητρῷ μεταχειρίζεσθαι· ἢν δὲ ὀλίγα ἔχῃ τούτων

[1] Δὲ om. J. – ὁπόταν EHK. — [2] ὑγρὴ εἴη (εἴη om. θ; ᾖ EFHIK) ἡ vulg. – περιπν. K. – ἴῃ παχύτερον vulg. – Je lis ἔῃ et mets la virgule avant παχ. – ταχύτερον (E, al. manu παχ) FGIJKLQ'. — [3] εἰ EHK. – ἐνάτῃ HK. — [4] δὲ om. E. – καὶ τεσσαρεσκαιδεκάτῃ pro τῆς τεσσαρεσκαιδεκάτης G, Ald. – τῆς om. JK. – τεσσάρων καὶ δέκα θ. – τεσσαρεσκαιδεκάτη J. – πολὺ EHK. — [5] ὧν καὶ (καὶ om. θ) vulg. — [6] αἱ θ. – αἱ om. vulg. – ἀτὰρ EFGJK. – αὐτὰρ om. θ. – ἡ στάσις τῆς νούσου οὐ ξηρὴ θ. — [7] τῇ om. EHθ. – τετάρτῃ καὶ δεκάτῃ (πέμπτῃ καὶ ἕκτῃ ἐπὶ δέκα θ) ξηρανθῇ vulg. – ἀποβήσσει E. – εἰ pro ἢν EH. – εἰς HIJK. – ἐς vulg. – πρὸς θ. – δεουσῶν vulg. – δεούσας EHIKQ'θ, Lind., Mack. – δεούσῃ J. – ἐνταῦθα om. FGJ. – παύσηται, ἐκφεύγει (ἐκφεύγῃ G, Ald.) τοῦ πτύσματος (παύσηται ἐκ τοῦ πτύσματος, φεύγει K', Mack) vulg. – Je pense que la correction est de supprimer ἐκφεύγει, une telle tournure étant fort usitée. Quelqu'un, ne la trouvant pas suffisamment claire, aura mis à la marge ἐκφεύγει, qui de là aura passé dans le texte, mais avant τοῦ πτύσματος, au lieu d'être placé après. — [8] εἰ EHK. — [9] μὲν θ. – μὲν om. vulg. – ἴσθι ὅτι om. (H, restit. al. manu) θ. – πν. K. – ἀγάγῃ θ. — [10] Post πρ. addit ἢ δευτέρῃσιν θ. – διάδηλοι vulg. – Je lis διαδηλοῖ. – ἐκπτυσθῇ θ. — [11] εἰ HK. – περιπν. K. — [12] τῶν ἐκ περιπλευμονίης κακῶν θ. – τῶν ἐν τῷ πλεύμονι (πν. GJK) ἐόντων κακῶν vulg. – ἀπὸ pro ἀπῇ G, Ald. – χρὴ ὅσα τε τῷ κάμνοντι vulg. – χρὴ δέουσαν τῷ κάμνοντι θ. – En soi, la leçon de vulg. est peu sûre; d'abord il faudrait sans doute la lire

quand la fièvre est à son summum, plus épaisses si la péripneumonie est humide, mais non si elle ne l'est pas; au neuvième et au dixième, jaunâtres et sanguinolentes; au douzième jusqu'au quatorzième, abondantes et purulentes. Chez ceux dont le corps a une nature et une disposition humides, la maladie est intense; chez ceux où la nature et la constitution de la maladie sont sèches, la gravité est moindre. Si dans le quinzième ou le seizième jour le poumon se dessèche et qu'il n'y ait plus d'expectoration purulente, le malade guérit ; sinon, faites attention aux dix-huitième et vingt et unième jours. L'expectoration cesse-t-elle à cette époque? très-bien ; dans le cas contraire, demandez-lui si l'expectoration a une saveur plus douce; répond-il oui? sachez que le poumon est le siége d'une suppuration et que la maladie prend une constitution à durer une année, à moins que le pus ne soit hâtivement évacué dans les quarante jours. S'il répond que le goût de l'expectoration est désagréable, la situation de la maladie est très-dangereuse. C'est surtout dans les premiers jours que l'issue se manifeste ; en effet, si le malade expectore en vingt-deux jours les matières corrompues et purulentes sans ulcération, il réchappe; sinon, non. Dans une telle péripneumonie ne manquent aucun des maux de la péripneumonie. Si quelqu'un de ces accidents est absent, sachez que c'est autant de moins pour le malade à supporter, pour le médecin à traiter. Si peu de ces signes sont présents, n'allez pas vous

ὅσα τῷ τε κάμνοντι ; puis le sens n'en est aucunement satisfaisant. Elle devient encore plus incertaine en présence de celle de θ, qui, sans donner rien de clair, montre cependant que la tradition du texte a souffert ici entre les mains des copistes. Si j'avais à restituer le texte indépendamment de ce qu'en donnent les mss., je lirais εἰδέναι χρὴ μαλακωτέρην ἐοῦσαν τῷ κάμνοντι κτλ.. Mais, en suivant nos variantes, il me semble retrouver en ὅσα τε assez du mot δέουσαν pour croire que la bonne lecture est δέουσαν. Cela supposé, il faut supposer aussi que dans le texte de vulg. et dans celui de θ un mot a été sauté, tel que τοσοῦδε, qu'en conséquence j'introduis. — [13] ἰατρῷ J. - ἔχει J. - σημείων vulg. - σημηΐων E. - ἐξαπατάτω· ἐπεὶ (ὡς Q') οὐκ ὀλέθριος περιπλευμονίη ἐστὶν, ἀλλά τις μαλθακὴ vulg. - ἐξαπατάτω ὡς (ἐπεὶ H) οὐ (οὐκ al. manu E) (addit ὀλέθριος al. manu E) περιπλευμονίη (περιπν. E) ἐστιν· ἔστι γὰρ (ἀλλά τις E) μαλθακὴ EHKθ.

των σημηΐων, μὴ ἐξαπατάτω ὡς οὐ περιπλευμονίη ἐστίν· ἔστι γὰρ μαλθακή. Θεραπεύειν δὲ [1]χρὴ τὴν περιπλευμονίην οὕτως· οὐ μέντοι ἐξαμαρτήσῃ καὶ πλευρῖτιν καὶ φρενῖτιν οὕτω μεταχειριζόμενος· [2]ἄρχου τὸ πρῶτον κουφίζων τὴν κεφαλὴν, ἵνα μηδὲν ἐπιῤῥέῃ [3]πρὸς τὸ στῆθος· τὰς δὲ πρώτας ἡμέρας τὰ ῥοφήματα ἔστω γλυκύτερα, οὕτω γὰρ ἂν μάλιστα τὸ [4]ξυγκαθήμενον καὶ τὸ ξυνεστηκὸς ἀποπλύνοις καὶ κινέοις· τεταρταίοισι δὲ καὶ πεμπταίοισι καὶ ἑκταίοισι μηκέτι γλυκύτερα, ἀλλὰ λιπαρὰ, ἐς γὰρ τὴν ἄνω πτύσιν ὑποχρέμπτεσθαι [5]ξυμφέρει· ἢν δὲ μὴ δύνηται κατὰ λόγον πτύειν, τῶν ἀναγόντων φαρμάκων διδόναι. Τὰς δὲ κοιλίας ἐν μὲν τῇσι πρώτῃσιν ἡμέρῃσι τέσσαρσιν ἢ πέντε ὑποχωρέειν χρὴ καὶ ὀλίγῳ μᾶλλον, ἵνα οἵ τε πυρετοὶ ἀμβλύτεροι ἔωσι καὶ τὰ ἀλγήματα κουφότερα· [6]ὁκόταν δὲ κεκενωμένος ᾖ καὶ ἀσθενὴς τὸ σῶμα, [7]τὴν κάτω κοιλίην διὰ τρίτης ὑποκινέειν, ἵνα τό τε [8]σῶμα μὴ ἀδύνατον ᾖ καὶ τὰ ἄνω χωρία ἔνυγρα· ἢν γὰρ κάτω [9]τὸ ὑγρὸν πολλὸν ὑποχωρέῃ ἀπὸ τῆς πέμπτης ἡμέρης, θάνατον ποιέει· κάτω γὰρ τοῦ ὑγροῦ ὑποχωρέοντος, [10]τὰ ἄνω ξηραίνεται, καὶ ἡ κάθαρσις τοῦ πτύσματος οὐ χωρέει ἄνω. Δεῖ οὖν καὶ τὴν [11]κάτω κοιλίην μήτε ἑστάναι [12]λίην, ἵνα μὴ ὀξέες ἔωσιν οἱ πυρετοὶ, μήτε λίην ὑποχωρέειν, [13]ἵνα τὸ σίαλον ἀνιέναι δύνηται καὶ ἰσχύῃ ὁ κάμνων. Φάρμακα δὲ τῆς ἀναγωγῆς ἑκταίοισι καὶ [14]ἑβδομαίοισι καὶ ἐνναταίοισι καὶ ἔτι περαιτέρω ἐοῦσι τῆς νούσου μᾶλλον δίδου· τὸ δὲ φάρμακον ἔστω ἐλλέβορος λευκὸς, θαψίη, ἐλατήριον νέον, ἴσον ἑκάστου. Ἢν δὲ τὸ σίαλον μὴ καθαίρηται εὖ καὶ τὸ πνεῦμα πυκνὸν ᾖ [15]καὶ τῆς καθάρσιος μὴ ἐπικρατέῃ, προειπεῖν ὅτι ἀνέλπιστός ἐστι [16]τοῦ ζῆν, ἢν μὴ δύνηται τῇ καθάρσει ὑπουργέειν. Ποιέειν δὲ καὶ τὰ ἐν τῇ [17]περιπλευμονίῃ, ἤν σοι τὰ τῆς κοιλίης τῆς κάτω καλῶς ὑπουρ-

[1] Ὧδε pro χρὴ EHKθ. – περιπν. HK. – οὕτως om. EHKθ. – μέν τι J. – ἐξαμαρτήσει vulg. – ἐξαμαρτήσῃ EHK. – καὶ φρ. καὶ πλ. EHK. — [2] Ante ἄρχου addit θεραπεία L. – τὴν κεφαλὴν ἄρχου κουφίζειν, sine τὸ πρῶτον, alia manu πρῶτον sine τὸ H. – τὴν κεφαλὴν ἄρχου κουφίζειν πρῶτον EK. – τὴν κεφαλὴν ἄρχου κουφίζων θ. – κουφίζειν vulg. — [3] ἐς EHKθ. – τὰ δὲ ῥοφήματα τὰς μὲν πρ. ἡμ. γλυκύτερα sine ἔστω EHKθ. – ἤτω pro ἔστω FGIJ. — [4] συγκ. EHIJK. – συνεσ. EHIJK. – κινοίης θ, Mack. — [5] σ. EHK. – ἐκ τῶν θ, Lind., Mack. – φάρμακον GQ'θ, Lind., Mack. — [6] ὁπ. EHK. — [7] τὴν κοιλίην κάτω E. — [8] σῶμα δυνατὸν ᾖ vulg. – σῶμα μὴ ἀδύνατον ᾖ θ. – ἔνυγρα θ. – ἄνικμα vulg. — [9] τὸ θ. – τὸ om. vulg. – ἡμέρας E. — [10] καὶ pro τὰ Mack. – Ante τοῦ addit ἡ θ. — [11] ἄνω pro κάτω θ. — [12] μὴν, al. manu λίην E. – λίην om. θ. — [13] Post ἵνα addunt μὴ FGJ. — [14] ὀγδοαίοισι pro ἑβδ. καὶ ἐνν. θ. – ἐνατ. HK. – μᾶλλον

tromper et croire que ce n'est pas une péripneumonie ; c'en est une peu intense. Vous traiterez ainsi la péripneumonie (et vous ne commettrez point d'erreur en traitant de même la pleurésie et la phrénitis) : commencez d'abord par alléger la tête afin que rien n'en découle sur la poitrine. Dans les premiers jours les potages seront de saveur douce; c'est en effet de cette façon surtout que vous délayerez et déplacerez ce qui est amassé et condensé. Le quatrième jour, le cinquième et le sixième, les potages ne seront plus doux, ils seront gras; car ils secondent l'expectoration. Si le malade ne peut convenablement expectorer, on donnera quelque expectorant. Dans les quatre ou cinq premiers jours il faut procurer des évacuations alvines, même assez abondantes, afin que les fièvres soient moins vives et les souffrances plus légères. Quand les évacuations ont été procurées et que le malade est faible, on ne lâchera le ventre inférieur que de deux jours l'un, afin que le corps ne perde pas toute force et que les parties supérieures conservent de l'humidité. En effet, si à partir du cinquième jour beaucoup de liquide s'écoule par le bas, cela cause la mort ; le liquide s'en allant par le bas, les parties supérieures se dessèchent, et la purgation par voie d'expectoration ne procède pas. Il faut donc que le ventre inférieur ne soit ni trop resserré afin que les fièvres ne soient pas aiguës, ni trop relâché afin que le malade puisse expectorer et conserve de la force. Les expectorants seront donnés le sixième jour, le septième, le neuvième et à une époque encore plus avancée de la maladie. L'expectorant sera hellébore blanc, thapsie, élatérion récent, dose égale de chaque. Si l'expectoration ne marche pas bien, si la respiration est fréquente et que le malade ne prenne pas le dessus de la purgation, prédisez que le cas est désespéré, à moins qu'il ne puisse suffire à la purgation. Il faut aussi faire ce qui convient dans la péripneumonie, si les évacuations alvi-

om. θ. — [15] καὶ τὰ τῆς K'. — [16] τοῦ om. EHK. — [17] περιπν. K. - πλευμονίη E. - ὑπουργέει J.

γέῃ. Ποιέειν δὲ καὶ ἄλλως ἀπὸ τῆς πρώτης ἡμέρης ἀρξάμενος· δίδου [1] ἄρου τοῦ μεγάλου κόγχην χηραμίδα, καὶ δαύκου καὶ ἀκαλήφης μίην, καὶ νάπυος καὶ πηγάνου ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, καὶ ὀπὸν σιλφίου ὅσον κύαμον· ταῦτα ἐν [2] ὀξυγλυκεῖ καὶ ὕδατι κεράσας καὶ διηθήσας, δίδου νήστει χλιαρόν. Ἐπειδὰν δὲ ἄρχηται καθαρὸν ἐκπτύειν, [3] ἄρου χηραμίδα καὶ σήσαμον καὶ ἀμύγδαλα καθήρας ἐν ὀξυγλυκεῖ κεχρημένῳ πίνειν· ἢν δὲ μᾶλλον βούλῃ ἄγειν, καππάριος τῆς ῥίζης φλοιὸν μιγνύναι τούτοισιν.

16. [4] Πλευρῖτις· ὁκόταν δὲ πλευρῖτις λάβῃ, τάδε πάσχει· ὀδύνη τὴν πλευρὴν καὶ πυρετὸς καὶ φρίκη ἴσχει, καὶ ἀναπνέει πυκνὸν, καὶ ὀρθοπνοίη ἔχει, καὶ ἀναβήσσει ὑπόχολα οἷον ἀπὸ σιδίου, ἢν μὴ ῥήγματα ἔχῃ· ἢν [5] δὲ ἔχῃ, καὶ αἷμα ἀπὸ τῶν ῥηγμάτων· ἐν δὲ τῇ [6] αἱματώδει ὕφαιμον. Ἔστι δὲ ἡ μὲν χολώδης ἠπιωτέρη, ἢν μὴ ῥήγματα ἔχῃ ὁ κάμνων· [7] εἰ δὲ μὴ, ἐπιπονωτέρη μὲν, θανατωδεστέρη δὲ οὔ· ἡ δὲ αἱματώδης [8] ἰσχυρὴ καὶ ἐπίπονος καὶ θανατώδης· ὁκόταν οὖν προσῇ καὶ λὺγξ ἅμα καὶ αἵματος θρόμβους ἀποβήσσῃ ἅμα τῷ σιάλῳ μέλανας, οὗτος ἀποθνήσκει ἑβδομαῖος· δέκα [9] δὲ ἡμέρας διαφυγὼν, τὴν μὲν πλευρῖτιν ὑγιὴς γίνεται, εἰκοστῇ δὲ [10] ἐμπυΐσκεται, καὶ ἀποβήσσει πῦον, τελευτῶν δὲ [11] καὶ ἀπεμέει, καὶ πάνυ εὐθεράπευτος οὐ γίνεται. [12] Εἰσὶ δὲ καὶ ξηραὶ πλευρίτιδες ἄπτυστοι, χαλεπαὶ [13] δὲ αὗται· αἱ δὲ κρίσιες ὅμοιαι τῇσιν ἄλλῃσιν· ὑγρασίης δὲ πλέονος δέονται τῶν ἄλλων ἐν τῷ ποτῷ. Αἱ δὲ χολώδεες καὶ αἱματώδεες κρίνουσιν [14] ἐννα-

[1] Ἄρτου K. – τοῦ om. Kθ. – κόγχην FGJ. – χηραμύδα EH. – Il faut probablement lire κόγχην ἢ χηραμίδα comme plus loin, p. 150. Cependant lisez-y la note 8, qui donne quelque appui à la lecture κόγχην χηραμίδα. – καὶ (καὶ om. vulg.) δαύκου θ. – ἀκαλίφης GHIJK, Frob., Lind. – μίαν E (H, al. manu ην). — [2] ὄξει γλυκεῖ (γλυκὺ GJ) vulg. – Je lis ὀξυγλυκεῖ en un seul mot. – ἄρξηται L. – ἐκπυεῖν θ. — [3] ἄρτου K. – χηραμύδα H. – σίσαμον GJ. – ὄξει γλυκεῖ vulg. – κεκηρωμένῳ (E, al. manu κεχρημένῳ) L, Lind. – ἐπικηρωμένῳ P'Q'. – βούλει HK. – καπάριος GI. — [4] Post πλ. addunt νοῦσος FG. – περὶ πλευρίτιδος E. – πλευρίτης J. – πλευρίτις (ubique) K. – πλ. om. θ. – ὁπόταν EHIJK. – ἀναπνέει θ. – ἀναπνεῖ vulg. – πυκινὸν EGHIKθ, Ald. – ὀρθοπνίη θ. – ὑπόχολον EHKθ. – οἷον om. θ. – ῥήγματι J. — [5] δ' EHK. – καὶ om. J. – ῥηγμάτων· ἔστι δὲ καὶ αἱματώδης (ἔστι δὲ κ. αἱμ. om. θ), ἐν δὲ vulg. — [6] αἱματώδη EJ. – ἠπιωτέρη Ald. — [7] ἢν E. – θανατώδης K. — [8] ἰσχ. om. θ. – ὁκόταν IJ. – ὁπ. vulg. – λὺξ GJ. – αἵματα GJ. – ἀποβήσσει HK. — [9] δὲ om. FG (J, restit. al. manu). — [10] ἐκπ. vulg. – ἐμπ. HIKLθ. – πύος K. — [11] καὶ H (θ, sine δέ). – καὶ om. vulg. – καὶ οὐ πάνυ θεράπευτος (sic) γίνεται θ. – ἀθεράπευτος J. — [12] ξηραὶ πλευρίτιδες (πλ. ξ. E) (ξ. πλ. om. Hθ)· εἰσὶ δὲ (δὲ om. θ)

nes rendent bon service. On peut encore agir autrement, en commençant au premier jour : prenez du grand arum (*arum italicum Lam., d'après Fraas, p. 273, avec un point de doute*) plein une coquille, une coquille de daucus et d'ortie, une pincée de moutarde blanche et de rue, et gros comme une fève de suc de silphion; mêlez cela dans de l'oxyglyky (*préparation de vinaigre et de miel*) et de l'eau, filtrez, et donnez à boire chaud à jeun. Quand l'expectoration commence à devenir pure, donnez à boire, dans de l'oxyglyky coupé, une coquille d'arum, du sésame et des amandes nettoyées; si vous voulez une expectoration plus active, mêlez-y l'écorce de la racine de câprier.

16. (*Pleurésie.*) Pleurésie : Voici les accidents de la pleurésie : il y a douleur de côté, fièvre et frisson, respiration fréquente, orthopnée. L'expectoration est de couleur subbilieuse comme celle de la grenade, à moins qu'il n'y ait des ruptures; s'il y en a, le malade expectore aussi du sang, que les ruptures fournissent. Dans la pleurésie sanguine, l'expectoration est sanguinolente. La pleurésie bilieuse (Coaque, 381) est plus bénigne, à moins que le malade n'ait des ruptures; s'il en a, elle est plus pénible (Coaque, 376), mais non plus dangereuse. La pleurésie sanguine est violente, pénible et dangereuse; quand donc il y a en outre hoquet et expectoration de grumeaux de sang noir (*apoplexie pulmonaire, voy.* des Maladies, II, § 64), le patient succombe au septième jour; passant dix jours; il guérit, à la vérité, de la pleurésie, mais le vingtième il devient empyématique, expectore du pus, finit par en vomir, et alors la cure est loin d'être facile. Il y a aussi des pleurésies sèches sans expectoration; elles sont difficiles (Coaque, 375); elles ont des crises semblables aux autres; mais il leur faut plus d'humidité par la boisson. Les bilieuses et les sanguines se jugent le neuvième et le onzième jour, et ces malades ont plus de chances de guérir. Si, au début, il y

vulg. — [13] δὲ om. EHK. - ὑγρασίῃσι vulg. - ὑγρασίης KLθ, Lind., Mack. - δὲ θ, Lind., Mack. - δὲ om. vulg. - πλείονος EH. - Post ἄλλων addunt τῶν FGJ. - ποταμῷ pro ποτῷ J. — [14] ἐνατ. HK. - δεκαταῖαι pro ἐνδ. θ.

ταῖαι καὶ ἑνδεκαταῖαι, [1] καὶ οὗτοι ὑγιέες μᾶλλον γίνονται. Ἢν δὲ κατ' ἀρχὰς μὲν μαλθακαί τινες ἔχωσιν ὀδύναι, ἀπὸ τῆς πέμπτης δὲ καὶ ἕκτης ὀξέαι, [2] αὗται τελευτῶσι μέχρι δυοκαιδεκάτης, καὶ οὐ μάλα ἀποθνήσκουσι· κίνδυνος δὲ μάλιστα [3] μὲν μέχρις ἑβδόμης, ἀτὰρ καὶ ἐς τὴν δυοκαιδεκάτην, μετὰ δὲ ταύτας ὑγιαίνονται. Αἱ δὲ ἐξ ἀρχῆς μὲν μαλθακαὶ, ἀπὸ δὲ τῆς ἑβδόμης καὶ ὀγδόης ὀξεῖαι, πρὸς τὰς τεσσαρεσκαίδεκα κρίνουσί τε καὶ ὑγιαίνονται. [4] Ἡ δὲ ἐς τὸ νῶτον πλευρῖτις τοσόνδε διαφέρει τῶν ἄλλων· [5] τὸ νῶτον ὀδυνᾶται ὡς ἐκ πληγῆς, καὶ στένει, καὶ ἀναπνεῖ ἀθρόον· εὐθὺς δὲ πτύει ὀλίγα, καὶ κοπιᾷ τὸ σῶμα· τρίτῃ [6] δ' ἢ τετάρτῃ οὐρέει ἰχῶρα ὕφαιμον· ἀποθνήσκει δὲ μάλιστα πεμπταῖος· εἰ δὲ μή [7] γε, ἑβδομαῖος· ταύτας [8] δὲ διαφυγὼν ζώει, καὶ ἡ νοῦσος ἠπίη καὶ ἧσσον θανατώδης· φυλάσσειν δὲ χρὴ μέχρι τῶν τεσσαρεσκαίδεκα· μετὰ δὲ ταῦτα ὑγιὴς γίνεται. [9] Ἐνίοις δὲ τῶν πλευριτικῶν τὸ μὲν σίαλον καθαρὸν, ἡ [10] δὲ οὔρησις αἱματώδης, οἷον ἀπὸ κρεῶν ὀπτῶν ἰχωρῶδες· ὀδύναι δὲ ὀξεῖαι διὰ τῆς ῥάχιος ἐς τὸ στῆθος καὶ ἐς τὸν βουβῶνα τείνουσιν· οὗτος τὴν ἑβδόμην διαφυγὼν [11] ὑγιαίνει. Ὁκόταν δὲ τούτων τῶν πλευριτίδων τινὶ προσγένηται τὸ νῶτον ἐρυθριᾶν, καὶ τοὺς ὤμους θερμαίνεσθαι, καὶ ἀνακαθίζοντα βαρύνεσθαι, καὶ ἡ γαστὴρ ἐκταράσσηται χλωρῷ καὶ δυσώδεϊ σφόδρα, οὗτος διὰ τὴν ὑποχώρησιν τῆς γαστρὸς εἰκοστῇ καὶ μιῇ ἀποθνήσκει· ταύτας δὲ διαφυγὼν [12] ὑγιαίνει. Οἷσι δὲ αἱ πτύσιες εὐθὺς παντοδαπαί εἰσι καὶ τὰ ἀλγήματα πάνυ ὀξέα, οὗτοι τριταῖοι [13] θνήσκουσι, ταύτας δὲ [14] διαφυγόντες ὑγιαίνουσιν· ὁ μὴ γενόμενος δὲ ὑγιὴς τῇ ἑβδόμῃ ἢ τῇ ἐννάτῃ ἢ [15] τῇ ἑνδεκάτῃ ἄρχεται ἐμπυΐσκεσθαι· κρέσσον δὲ ἐμ-

[1] Ἢ pro καὶ L. – τινες om. (H, restit. al. manu) θ. – ὀξεῖαι vulg. – ὀξέαι θ. — [2] αὗται δὲ (δὲ om. θ) vulg. – δυοδεκάτης, al. manu δυοκαιδ. H. – δυωκαιδεκάτης EI. – δωδεκάτης θ. – ἀποθνήσκουσι θ. – ἀποφεύγουσι vulg. — [3] μὲν θ. – μὲν om. vulg. – μέχρι Hθ. – δυωκαιδεκάτην EI. – δωδεκάτην θ. — [4] πλευρῖτις ἐν νώτῳ (πλ. ἐν ν. om. θ)· ἡ δὲ (δ' EHK) ἐς τὸν νῶτον (τὸν ὦτον sic θ) vulg. – τόσον δὲ HK. – τόσον J. — [5] τὸν νῶτον vulg. – τὸν ὦτον θ. – ἐκ om. Lind. — [6] δ' θ, Mack. – δ' om. vulg. — [7] γε om. θ, Mack. — [8] δὲ om. FG. – ζώη G, Frob. – ζῇ μὲν, καὶ θ. – ἠπίη Ald., Frob. – θανώδης (sic), al. manu νατ H. – χρὴ om. EFH. – τῶν om. H. – γίνεται om., restit. al. manu H. — [9] ἐνίη EFGHIJK, Ald. – ἐνίαις δὲ τῶν πλευριτίδων θ. — [10] δ' EHK. – ἰχῶρες θ. — [11] ὑγιὴς, al. manu αίνει H. – πλευριτικῶν Lind. – τὸν νῶτον vulg. – τὸν ὦτον θ. – ἐρυθρυᾶν K. – ἐκταράσσεται vulg. – ἐκταράσσηται E. – δυσώδει vulg. – δυσώδεϊ EHIJK. – τῆς γαστρὸς om. (H, restit. al. manu) θ. – μιᾷ EHK. — [12] ὑγιὴς, al. manu αίνει H. – πτύσεις vulg. – πτύσιες θ. – τὰ om. J. — [13] φεύ-

a quelques douleurs modérées, devenant aiguës à partir du cinquième ou du sixième, ces cas finissent au douzième, et il n'en meurt pas beaucoup; le danger est surtout jusqu'au septième, et même jusqu'au douzième; passé ce terme, on guérit. Les pleurésies, modérées au début, mais aiguës à dater du septième et du huitième, se jugent au quatorzième et guérissent. La pleurésie dorsale diffère des autres en ceci : le dos est douloureux comme à la suite d'un coup; le malade se plaint, il respire fréquemment; d'abord il expectore peu, et il a le corps brisé de lassitude; le troisième ou le quatrième jour, il urine une humeur sanguinolente; il meurt d'ordinaire le cinquième jour; sinon, le septième; dépassant ce terme, il vit, et la maladie est modérée et moins dangereuse; mais il faut être sur ses gardes jusqu'au quatorzième jour; au delà, il guérit. Chez quelques pleurétiques, l'expectoration est pure, mais l'urine est sanguinolente et semblable à l'humeur qui provient de viandes rôties; des douleurs aiguës vont à travers le rachis à la poitrine et à l'aine; un tel malade, passant le septième jour, guérit. Quand, chez quelqu'un de ces pleurétiques, il arrive que le dos rougit, que les épaules deviennent chaudes, que, mis sur son séant, il est appesanti, que le ventre se dérange avec des selles jaunes et très-fétides, ce malade succombe le vingt et unième jour par la diarrhée; mais, passant ce terme, il guérit (Coaque, 374). Ceux chez qui dès l'abord l'expectoration est de toute nature et la souffrance très-aiguë, meurent le troisième jour; mais, passant ce terme, ils guérissent; celui qui n'entre pas en convalescence le septième ou le neuvième ou le onzième, est au début d'une suppuration (Coaque, 373); il vaut mieux suppurer; cela en effet

γοσι (sic) pro θνήσκουσι θ. — [14] διαφυγὼν ὑγιὴς θ. – ὑγιέες pro ὑγιαίνουσιν EHQ'. – ὑγιέες γίνονται Lind. – ὁ om. (K, restit. al. manu) θ. – μὴ δὲ γεν., al. manu μὴ γεν. δὲ H. – ὁ δὲ μὴ γεν. Lind. – γίν. J. – ἐνατ. HK. — [15] τῇ om. θ. – δεκάτῃ vulg. – ἑνδεκάτῃ Lθ, Foes in not., Lind., Mack. – κρεῖσσον vulg. – κρέσσον EHK. – ἐμπυῆσαι· ἧσσον γὰρ θανατῶδες, κἂν ἐπίπονον ᾖ vulg. – ἐμπυῆσαι, κἂν ἐπίπονον ᾖ· ἧσσον γὰρ θανατῶδες Lind. – ἐμπυῆσαι· ἧσσον γὰρ θανατῶδες, ἐπίπονον δὲ EHKP'Q'θ.

πυῆσαι· ἧσσον γὰρ θανατῶδες, ἐπίπονον δέ. Πρὸς [1] δὲ τοῖσι σημηΐοισι τοῖσιν εἰρημένοισιν ἐν ἑκάστῃ τῶν πλευριτίδων καὶ τάδε χρὴ σκοπέεσθαι τὴν [2] γλῶσσαν· πομφόλυγος γὰρ ὑποπελίδνου γινομένης ἐπὶ τῆς γλώσσης, οἷα σιδηρίου βαφέντος εἰς ἔλαιον, [3] εἰ μὲν ἐν ἀρχῇ γένοιτο τρηχείη, χαλεπωτέρη ἡ ἀπάλλαξις τῆς νούσου, καὶ ἀνάγκη αἷμα ἀποδῆξαι ἐν τῇσιν ἡμέρῃσιν, ἐν ᾗσι δεῖ· εἰ δὲ [4] καὶ προκεχωρηκυίης τῆς νούσου γένοιτο, αἱ μὲν κρίσιες ἐς τὴν τετάρτην καὶ δεκάτην ἡμέρην, ἀνάγκη δὲ πτύσαι αἷμα. Ἔχει δὲ [5] ὧδε περὶ τῆς ἀπαλλάξιος· εἰ μὲν τριταίῳ ἄρχοιτο πεπαίνεσθαι καὶ πτύεσθαι, θάσσους αἱ ἀπαλλάξιες· εἰ [6] δὲ ὕστερον πεπαίνοιτο, ὕστερον καὶ αἱ κρίσιες γίνονται, ὡς ἐν τοῖσι τῆς κεφαλῆς σημηΐοισι. Τὰ δὲ ἀλγήματα τὰ ἐν ἁπάσῃσι τῇσι πλευρίτισιν [7] ὡς ἐπιτοπουλὺ κουφίζει μεθ' ἡμέρην μᾶλλον ἢ νύκτωρ. Θεραπεύειν δὲ χρὴ τὰς πλευρίτιδας οὕτως· τὰ μὲν [8] πολλὰ ὡς τὴν φρενῖτιν καὶ περιπλευμονίην, πλὴν λουτροῖσι χρῆσθαι θερμοῖσι καὶ οἴνοισι γλυκέσιν. Ἢν μὲν οὖν τῇ πρώτῃ ἢ τῇ ἐπιούσῃ λάβῃς τῆς [9] ἐπιλήψιος, ἢν μὲν ὑπεληλύθῃ ἡ κόπρος καθαρὴ ἢ ἀτρέμα χολώδης καὶ ὀλίγη, ὑποκλύσαι θαψίῃ· ἢν δὲ [10] κινηθεῖσα ἡ κοιλίη τὴν μὲν νύκτα χαλάσῃ, τῇ [11] δὲ ὑστεραίῃ ὀδύνη καὶ στρόφος ἔχῃ, πάλιν ὑποκλύσαι. Ἢν δὲ ὁ κάμνων χολώδης ᾖ τῇ φύσει καὶ ληφθῇ τῇ νούσῳ ἀκάθαρτος ἐὼν, πρὶν ἀναπτύεσθαι τὸ σίαλον χολῶδες, καὶ τῷ φαρμάκῳ καθῆραι χολὴν εὖ· [12] ἐκπτύοντι δὲ ἤδη χολώδεα μὴ δίδου τὸ φάρμακον· ἢν γὰρ δῷς, τὸ πτύσμα οὐ δυνήσεται ἄνω ἀνιέναι, ἀλλ' ἑβδομαῖος ἢ ἐνναταῖος ἀποπνιγήσεται· [13] ἢν δὲ πρὸς τῇσιν ἐν τῇσι πλευρῇσιν ὀδύνῃσι καὶ τὰ ὑποχόνδρια ἀλγέῃ, ὑπο-

[1] Δὲ om. θ. – σημείοισι vulg. – σημηΐοισι EHK. — [2] γλῶτταν vulg. – γλῶσσαν EHIJK, Mack. – πομφόλιγος JK. – πομφ.... ἔλαιον om. θ. – ὑπὸ pro ἐπὶ J. – ἐς Lind. — [3] εἰ EHK. – ἢν vulg. – γίνοιτο EHJK. – τρηχεῖα vulg. – τρηχεία I. – τρηχείη Kθ, Mack. — [4] καὶ om. θ. – προκεχωρηκύης IJ. – ἡμέραν vulg. – ἡμέρην EHIJK, Mack. — [5] ὧδε EHKθ. – οὕτως vulg. – θάττους vulg. – θάσσους E, Mack. — [6] δ' E. – πεπαίνοι τὸ ὕστερον θ. – τῆς om. J. — [7] πολλὸν pro ὡς ἐπιτ. θ. – ἐπὶ τὸ πολὺ EHK. – ὧδε (H, al. manu οὕτως) θ. — [8] πουλὰ GJ. – πουλλὰ I, Ald., Frob. – ἐς τὴν πλευρῖτιν pro ὡς τὴν φρ. θ. – πλευρῖτιν pro φρ. EQ', Lind. – καὶ τὴν περ. EGIK. – περιπν. K. – Post λουτροῖσι addit τε θ. — [9] λήψιος θ. – ἐπεληλύθη EGHIJK, Ald. – ἡ om. E. — [10] Post κιν. addit ἡ λυθεῖσα θ. — [11] δ' EHK. – ἔχει K. — [12] πτύοντι θ. – δῷς J. – δοῖς θ. – ἐναταῖος H. — [13] Ante ἢν addit ἢν (ἐὰν EHK) μᾶλλον (μᾶλλον om., restit. al. manu H) καὶ τὰ ὑποχόνδρια ἀλγέῃ (ἢν μ. καὶ τὰ ὑ. ἀλγέῃ om. θ) vulg. – Quand on considère ce membre de phrase après la suppression de μᾶλλον indiquée

est moins dangereux, mais fort pénible. Outre les signes susdits, il faut, dans chacune des pleurésies, considérer aussi la langue : une bulle sublivide se formant sur la langue comme celle que forme un fer plongé dans de l'huile, si la langue devient rugueuse au début, la solution est plus difficile, et nécessairement du sang est expectoré dans les jours où cela doit arriver; si la langue devient rugueuse à une époque avancée de la maladie, les crises vont au quatorzième jour et nécessairement du sang est expectoré (Coaque, 378). Voici ce qu'il en est pour la solution : si au troisième jour commencent la maturation et l'expectoration, la solution est plus prompte; si la maturation commence plus tard, les crises viennent plus tard (Coaque, 379), comme dans les signes relatifs à la tête. Les souffrances, dans toutes les pleurésies, sont d'ordinaire moins pénibles le jour que la nuit. On traitera ainsi les pleurésies : en général, le traitement sera comme pour la phrénitis et la péripneumonie, sauf qu'on usera de bains chauds et de vins doux. Si donc vous prenez une pleurésie le premier jour ou le lendemain de l'invasion, dans le cas où il y a eu des selles non mélangées ou légèrement bilieuses et peu abondantes, on donnera un lavement avec la thapsie. Si le ventre mis en mouvement est relaché la nuit, et que le lendemain il y ait douleur et tranchée, on recommencera le lavement. Si le malade est naturellement bilieux et qu'il soit pris de la maladie ayant le corps impur, il faut, avant que l'expectoration devienne bilieuse, administrer un bon cholagogue. Mais, quand l'expectoration est déjà bilieuse, ne donnez pas le purgatif; car, si vous le donnez, l'expectoration ne pourra pas procéder, et il succombera suffoqué le septième jour ou le neuvième. Dans le cas où, indépendamment des douleurs de côté, les hypocondres sont

par H, on ne peut qu'y voir un titre, supprimé avec raison par θ. – ἢν δὲ πρὸς.... ἀλγέῃ om., restit. al. manu cum εἰ E. – ταύτησι τῇσι (τῆς GJ; τῇις sic I) pro τῇσιν ἐν τῇσι πλευρῇσιν FGIJL. – πρὸς τῇ (sic) ἐν τῇσι πλευρῇσιν ὀδύνῃσι, al. manu πρὸς ταύτῃσι τῇσιν ὀδύνῃσιν H. – ταῦτα pr τὰ H. – τε pro δεῖ EHK. – νήστει δοῦναι θ. – ὕσωπον HIJ. – μήκονα GJ, A -..

κλύσαι δεῖ, καὶ πιέειν δοῦναι νήστει ἀριστολοχίαν καὶ ὕσσωπον καὶ κύμινον καὶ σίλφιον καὶ μήκωνα λευκὴν καὶ ἄνθος χαλκοῦ καὶ μέλι καὶ ὄξος καὶ ὕδωρ. Πρὸς μὲν τὰ φάρμακα [1]οὕτω δεῖ ποιέεσθαι τὰς θεραπείας τὰς πρώτας· τὰ δ' ἄλλα ὧδε ἔχει· λούειν πολλῷ θερμῷ [2]πρὸς τὴν δύναμιν τοῦ κάμνοντος, πλὴν τῆς κεφαλῆς, καὶ ὁκόταν αἱ κρίσιες ὦσι, τὰ ὀδυνώμενα χλιαίνειν ὑγρῇσι πυρίῃσιν ὑπαλείφων ἐλαίῳ. [3]Ὁκόταν δὲ καταιγίζωσιν αἱ νοῦσοι, ἡσυχάζειν καὶ τὸν κάμνοντα καὶ τὸν ἰητρὸν τῇσι θεραπείῃσιν, [4]ὅκως μὴ κατεργάσηταί τι κακόν· πτισάνης δὲ χυλὸν κάθεφθον διδόναι, ὀλίγῳ παχύτερον, μελιχροποιέων. Μετὰ δὲ τὰ λουτρὰ καὶ οἶνον [5]γλυκὺν ὑδαρέα προπίνειν, μὴ ψυχρὸν, ὀλίγον ἐκ βομβυλίου οὐκ εὐρυστόμου· καὶ [6]ὁκόταν βῆχες ἐπίωσιν, ἐπιπίνειν καὶ χρέμπτεσθαι ὡς μάλιστα, καὶ τῷ ποτῷ ὑγραίνειν, ἵνα ὁ [7]πλεύμων ὑγρότερος ἐὼν ῥᾷον καὶ θᾶσσον ἀποδιδῷ τὸ πτύσμα καὶ ἡ βὴξ [8]ἧσσον πονέῃ· καὶ ῥοιῆς δὲ γλυκείης ἢ οἰνώδεος χυλὸν, γάλακτι αἰγείῳ ὀλίγῳ καὶ μέλιτι μιγνὺς, κατὰ σμικρὸν πολλάκις δίδου νύκτωρ τε καὶ μεθ' ἡμέρην· καὶ ὕπνον [9]δ' ὡς μάλιστα διακωλύειν, ἵνα κάθαρσις γένηται θάσσων τε καὶ πλείων. Τὴν [10]δὲ αἱματώδεα πλευρῖτιν θεραπεύειν χρὴ οὕτως· μετὰ δὲ τὰς κρίσιας ἀνακομίζειν σιτίοισι κούφοισι, καὶ ἡσυχάζειν, καὶ φυλάσσεσθαι περισσῶς ἡλίους, ἀνέμους, πλησμονὰς, ὀξέα, ἁλυκὰ, λιπαρὰ, [11]καπνὸν, φύσας τὰς ἐν τῇ κοιλίῃ, πόνους, λαγνείας· ἢν γὰρ ἡ νοῦσος ὑποτροπιάσῃ, θάνατος ἕψεται. Ἐν δὲ τῇσι πτύσεσιν, ἢν ὀδύνη τε ἔχῃ καὶ μὴ δύνηται ἀποπτύειν, νήστει δίδου ἄνθος χαλκοῦ ὅσον [12]κοτινάδα,

[1] Οὑτῶ (sic) E. — [2] πρὸς δύναμιν τὴν τοῦ EHK. – τῆς om. EHJK. – ὁπόταν EHK. – εἰσὶ GHIJK. – ὑγροῖσι IJ. — [3] ὀπ. EHK. – κατεγίζωσιν θ. – καταιγίζουσιν G, Ald., Frob. – ἰατρὸν IJ. – θεραπίησι HK. — [4] ὅπ. EHK. – ἐξεργάσηται θ. – πτισσ. E. – κάτεφθον vulg. – κάθεφθον HK, Lind., Mack. – κάκεφθον (sic), al. manu κάθεφθον E. – μέλιχρον ποιέων θ. — [5] γλυκὺν καὶ (καὶ om. FGJθ) ὑδ. vulg. – ὀλίγον δὲ ἐκ Lind. – βρομβυλίου, al. manu βομβ H. – Erot. Gl., p. 104 : βομβυλίου, ἔστι μὲν τὸ βομβύλιον εἶδος μελίσσης· σημαίνει δὲ καὶ τὸν αὐλήτην παρὰ τὸ τοῖς αὐλοῖς βομβεῖν. Ἔστι δὲ καὶ βυκίου εἶδος στενοστόμου. Gal. Gl. : βομβύλιον, ἔκπωμά τι στενὸν ἔχον τὸ στόμα ἢ πῶμα, παρὰ τὸ βομβεῖν ὠνομασμένον. – οὐκ (οὐκ om. vulg.) εὐρ. Mack. – οὐκ est clairement exigé par les gloses d'Érotien et de Galien, et tous les traducteurs ont rétabli la négation. — [6] ὀκ. HK. – ὁκόσον E. – ἐπίασιν (E, al. manu ἐπίωσι) K', Mack. – ἐπιᾶσιν Q', Lind. – πρώτω pro ποτῷ J. — [7] πν. EGHJK. – ῶν EHJK. – ῥηιδίως καὶ θᾶσσον ἀποδίδοι θ. — [8] ἶσον H. – πονέει EK. – ἢ EH IJKLθ, Lind. – ἢ om. vulg. – γάλατι (sic) IJ. – μικρὸν vulg. – σμικρὸν θ, Mack. – δὲ pro τε Jθ, Mack. — [9] δ' HKθ. – δ' om. vulg. – θάσσων (θᾶσσόν E)

douloureux, il faut prescrire un lavement et donner à boire à jeun aristoloche, hysope, cumin, silphion, mécon blanc (*euphorbia peplus*), fleur de cuivre, miel, vinaigre et eau Voilà, quant aux médicaments, comment il faut appliquer les premiers secours; quant au reste, voici ce qu'il faut faire : on lavera avec beaucoup d'eau chaude, selon la force du malade, excepté la tête; et quand les crises sont là, on échauffe avec des fomentations humides les parties douloureuses que l'on oint avec de l'huile. Quand les maladies sont au summum, il faut que le malade se tienne en repos, ainsi que le médecin pour les remèdes, afin de ne pas faire quelque mal. On donnera la décoction d'orge très-cuite, assez épaisse, avec addition de miel. Après les bains, on donnera aussi du vin doux, coupé, non froid, en petite quantité, le malade le boira avec un vase à goulot étroit. Quand la toux est active, boire et expectorer autant que possible; humecter par la boisson, afin que le poumon, étant humide, laisse sortir plus facilement et plus vite l'expectoration et afin que la toux soit moins pénible. Prenez le jus d'une grenade douce ou vineuse, mêlez-y un peu de lait de chèvre et de miel, et faites-en boire souvent et peu à la fois la nuit et le jour. Empêchez le sommeil autant que possible, pour que la mondification soit plus active et plus abondante. La pleurésie sanguine sera traitée ainsi; et, après les crises, on restaurera avec des aliments légers; le malade se tiendra en repos, et se gardera soigneusement du soleil, du vent, de la réplétion, des acides, des choses salées, grasses, de la fumée, des flatuosités abdominales, des fatigues, du coït; car, si la maladie récidive, elle sera mortelle. Pour l'expectoration, si le malade souffre et ne peut cracher, il prendra à jeun de la fleur de cuivre gros comme une olive

τε καὶ πλείων EHK. – θᾶσσόν τε καὶ πλεῖον vulg. — [10] δ' HK. – ὧδε sine χρὴ HKQ'. – οὕτω sine χρὴ θ, Mack. – ὧδε Lind. – δὴ Lind. – δὲ om. θ, Mack. – ἀνωκομίζειν (sic) E. — [11] καπνὸν om. K. – ἡ νοῦσος om. (H, restit. al. manu) θ. – ἀποθνήσκει (H, al. manu θάνατος ἕψεται) θ. — [12] μοτινάδα (E, al. manu κο) F (H, al. manu) JK. – ἀπὸ pro ὀποῦ θ. – σιλφίου τούτου (τούτου om., H restit. al. manu, θ) τὸ (τὸ om., H restit. al. manu, θ) ἥμισυ vulg.

καὶ ὀποῦ σιλφίου ἥμισυ, καὶ τριφύλλου καρποῦ ὀλίγον ἐν μέλιτι λείχειν· ἢ [1]πεπέρεος κόκκους πέντε καὶ ὀποῦ σιλφίου ὅσον κύαμον, καὶ μέλι καὶ ὄξος καὶ ὕδωρ πίνειν χλιαρὸν νήστει δίδου· τοῦτο καὶ τὰς ὀδύνας παύει. Ἢν δὲ μὴ δύνηται πτύειν κατὰ λόγον, ἀλλ' ἐνίσχηται [2]αὐτῷ καὶ ῥέγχῃ ἐν τοῖσι στήθεσιν, ἄρου τοῦ μεγάλου ῥίζης χηραμίδα καὶ ἔλαιον σὺν μέλιτι μίξαι, ἐπιῤῥοφεῖν δὲ ὄξος κεχρημένον. [3]Ἄλλο ἰσχυρόν· ἄνθος χαλκοῦ ὅσον κύαμον καὶ νίτρον ὀπτὸν διπλάσιον καὶ ὕσσωπον ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, μέλιτι μίξας, καὶ ὕδωρ καὶ ἔλαιον μικρὸν ἐπιστάξας, χλιάνας [4]ἐν χηραμίδι, ἐγχέειν ἵνα μὴ ἀποπνιγῇ. Καὶ ἐν περιπλευμονίῃ, ἢν μὴ καθαίρηται, τοῦτο δεῖ ποιέειν. Ἢν δὲ μήτε ῥέγχῃ μήτε πτύῃ ὡς δεῖ, [5]καππάριος καρποῦ ὅσον τοῖσι τρισὶ δακτύλοισι λαβεῖν, καὶ πέπερι καὶ νίτρον ὀλίγον καὶ μέλι καὶ ὄξος καὶ ὕδωρ μίξας τοῦτο χλιαρὸν ἐπιῤῥοφεῖν· τὴν δὲ ἄλλην ἡμέρην [6]ὕσσωπον ἐν ὄξει καὶ μέλιτι καὶ ὕδατι ἀναζέσας ἐπιῤῥοφεῖν. Τοῦτο καὶ τοῖσι ῥέγχουσι διδόναι καὶ μὴ δυναμένοισι καθαίρεσθαι. Εἰ [7]δὲ ἰσχυρότερον βούλοιο ποιέειν, ὑσσώπου καὶ νάπυος καὶ καρδάμου κόγχην [8]ἢ χηραμίδα τρίψας ἐν μέλιτι καὶ ὕδατι, καὶ ἀναζέσας, καὶ διηθήσας, ἐπιῤῥοφεῖν [9]χλιαρὸν δίδου. Οὕτω ταῦτα τὰ νουσήματα θεραπευθέντα ὑγιέα γίνεται, ἢν μή τι τοῦ πτύσματος ὑπολειφθὲν ἐν τῷ [10]πλεύμονι πῦος γένηται, ὑφ' οὗ βήσσουσι ξηρὰ βηχία, καὶ πῦρ καὶ φρίκη ἴσχει, καὶ ὀρθοπνοίη ἔχει, καὶ πυκνὸν καὶ ἀθρόον ἀναπνεῖ, καὶ ἡ φωνὴ βαρυτέρη ὀλίγῳ, καὶ εὐχροίη σὺν τῇ θέρμῃ τὸ πρόσωπον ἴσχει· προϊόντος δὲ τοῦ χρόνου, μᾶλλον [11]καὶ ἡ νοῦσος σάφα δηλοῦται. Τοῦτον εἰ ἐντὸς τῶν δέκα ἡμερέων λάβοις,

[1] Πεπέρεως EGIJK, Mack. — [2] ἐν (ἐν om. θ) αὐτῷ vulg. – ῥέγχει K. – χηραμύδα HIK. – μίξας K. – ἐπιρροφῆν G, Ald., Frob. — [3] ἄλλο ἰσχ. om. P'. – λίτρον θ. – ὀπτὸν om. Lθ. – ὕσιωπον HIJ. – σμικρὸν Mack. — [4] ἐν om. Lind. – χηραμύδι HIK. – ἀποπνηγῇ Frob. – περιπν. K. – θαίρηται (sic), al. manu καθαίρηται H. – δεῖ om. (H, restit. al. manu) P'θ. – ἐγχέειν pro ποιέειν EHK P'θ. — [5] καπάριος Gl. – λίτρον θ. – ὀλίγον om. θ. — [6] ὕσσωπον θ. – ὕσσ. om. vulg. — [7] δ' EHK. – βούλοι τὸ ποιέειν (sic) θ. – ὑσώπου HIJ. — [8] ἢ om. Lind., Mack. – χηραμύδα HI. – Erot. Gl., p. 394 : χηραμίδα, τὴν κοίλην κόγχην, ἣν μύακα καλοῦμεν. Παρὰ τὸν Χηραμὸν δ' εἴρηται, ὅσπέρ ἐστι κοῖλος τόπος. Ὡς καὶ Νίκανδρος ἐν Θηριακοῖς φησι, Τοῖς δὴ χηραμὰ κοῖλα καὶ ὑληωρέας εὐνάς. Gal. Gl. : κόγχην, κεραμίδα· οὐδὲν πλέον δηλοῖ τῆς κεραμίδος. D'après cette glose de Galien, qu'il lit κόγχην χηραμίδα, οὐδὲν κτλ., Foes tire la conséquence qu'un peu plus haut (voy. p. 142, n. 1) la leçon est bonne. — [9] δίδου χλιαρὸν E. – νοσ. EHJK. – ὑγιὰ (sic) θ. – γίνεται HK. – γίνονται vulg.

sauvage, moitié autant de suc de silphion, et un peu de graine de trèfle (*psoralera bituminosa, L., d'après Fraas, p.* 62), en éclegme dans du miel, ou cinq grains de poivre, gros comme une féve de suc de silphion, miel, vinaigre, eau, à boire chaud à jeun; ce moyen apaise aussi les douleurs. Si le malade ne peut expectorer convenablement, si les matières s'arrêtent et qu'il y ait râlement dans la poitrine, prenez plein une coquille de la racine du grand arum, mêlez de l'huile et du miel, et par-dessus faites prendre du vinaigre coupé. Autre moyen énergique : fleur de cuivre, gros comme une féve; nitre cuit, le double; hysope, une pincée; mêlez avec du miel, versez un peu d'eau et d'huile, chauffez dans une coquille, infusez (*voy. p.* 5), afin que le malade ne soit pas suffoqué. Dans la péripneumonie aussi, si la poitrine ne se purge pas, employez le même moyen. Au cas où, sans avoir de râlement, le malade ne crache pas convenablement, prenez une pincée de câpres, du poivre, un peu de nitre, mêlez du miel, du vinaigre et de l'eau, et faites boire cela chaud; le reste du jour, il prendra de l'hysope bouilli dans du vinaigre, du miel et de l'eau; cela se donne aussi à ceux qui râlent et dont la poitrine ne peut se purger. Si vous voulez rendre la préparation plus active, pilez plein une coquille d'hysope, de moutarde et de cresson dans du miel et de l'eau, faites bouillir, filtrez, et donnez à prendre chaud. C'est traitées de la sorte que ces maladies guérissent, à moins que l'expectoration ne laisse dans le poumon un reliquat qui devienne du pus. D'une telle terminaison naissent des toux sèches, de la fièvre, du frisson, de l'orthopnée; la respiration est fréquente et pressée; la voix est un peu plus grave; au moment de la chaleur fébrile, le visage est bien coloré. Au bout d'un certain temps, la maladie se montre davantage et nettement. Si vous prenez un tel malade dans les dix premiers jours, vous l'échaufferez par le régime et le bain

— [10] πν. EGHJK. – πῦον θ, Mack. – ὀρθοπνοῖ θ. – πυκινὸν θ. – χροίη vulg. – εὐχροίη θ, Mack. — [11] καὶ om. J. – σαφῆς (sic) θ. – ἡμερῶν vulg. – ἡμερέων EHIJKθ, Lind., Mack. – λάθῃς vulg. – λάθοις HK. – εἰς E.

θερμήναντα χρὴ διαίτῃ καὶ λουτρῷ θερμῷ ἐγχέαι ἐς τὸν [1]πλεύμονα ὅ τι πῦον ἄξει, καὶ τοῖσιν ἄλλοισι χρῆσθαι τοῖσι τὸ πῦον ἄγουσι, καὶ διαιτᾷν ὡς ἔμπυον, καὶ τὴν κεφαλὴν ἀποξηραίνειν, ἵνα μὴ ἐπιῤῥέῃ. Ἢν [2]δ' ἐν τῷ ἐγχύτῳ μὴ σήπηται καὶ ἀνάγηται τὸ πῦον, ῥήγνυται αὐτῷ ἐκ τοῦ [3]πλεύμονος ἐς τὸν θώρηκα, καὶ μετὰ [4]τὴν ῥῆξιν δοκέει ὑγιὴς εἶναι, ὅτι ἐκ τῆς στενοχωρίης ἐς τὴν εὐρυχωρίην ἦλθε τὸ πῦον, καὶ τὸ πνεῦμα ὃ ἀναπνέομεν ἕδρην ἔσχεν ἐν τῷ [5]πλεύμονι· προϊόντος δὲ τοῦ χρόνου, τὰ στήθεα πύου πληροῦται, καὶ [6]αἱ βῆχες καὶ οἱ πυρετοὶ καὶ τἄλλα ἀλγήματα πάντα μᾶλλον πιέζει αὐτὸν, καὶ ἡ νοῦσος διαδηλοῦται. Τοῦτον μετὰ τὴν ἔκρηξιν ἐᾶσαι δεῖ ἡμέρας πεντεκαίδεκα, [7]ὅκως πάλιν πεπανθῇ τὸ πῦον· ἅτε γὰρ ἐς εὐρυχωρίην ἐλθὸν ἀνέψυξέ τε καὶ τὸ ὑπάρχον ὑγρὸν ἐν τῷ θώρηκι προσηγάγετο πρὸς ἑωυτὸ, [8]ὥστε αὐτὸ ἡμισαπὲς εἶναι. Ἢν μὲν οὖν αὐτόματον ἄρξηται πτύεσθαι ἐν τούτῳ τῷ [9]χρόνῳ, ἢ φαρμάκοισι τιμωρέειν ἢ ποτοῖσιν, [10]ἐν δὲ τῇσι τελευταίῃσιν ἡμέρῃσι τῶν ἡμερέων τῶν πεντεκαίδεκα σπεύδειν ἀναστῆναι πρὶν μᾶλλον τρύχεσθαι τὸ σῶμα, φυλάσσων τὴν κεφαλὴν καθαρὴν τῶν ἐπιῤῥοῶν εἵνεκεν. Ἢν δὲ μὴ πτύηται, [11]ἀποσημήνῃ δὲ ἐς τὰς πλευρὰς, ταμέειν ἢ καῦσαι. Ἢν δὲ μήτε πτύηται μήτε [12]ἀποσημήνῃ ἐς τὰς πλευρὰς, λούσας πολλῷ καὶ θερμῷ [13]νῆστιν καὶ ἄποτον, καθίσας ἐπὶ ἕδρης ἀκινήτου, ἕτερος [14]μὲν τῶν ὤμων ἀναλαβέτω, αὐτὸς δὲ σεῖε τοῦτον, τὸ οὖς παραβάλλων πρὸς τὰς πλευρὰς, ἵν' εἰδῇς ὁκοτέρωθεν ἀποσημαίνει· βούλου δὲ μᾶλλον πρὸς τὰ

[1] Ηv. GHJK. – διαιτᾷν ὧδε (ὧδε om. EIQ'θ, Lind., Mack) ὡς (ὡς om. J) vulg. — [2] δὲ τῷ vulg. – δ' ἐν τῷ EHKQ'θ, Mack. – σήπηται καὶ θ, Mack. – σήπηται καὶ om. vulg. – αὐτὸ vulg. – αὐτῷ H. — [3] πν. EGHIJK. – εἰς vulg. – ἐς EHK. – θώρακα EHK. — [4] τὴν om. FGJ. – εἰς vulg. – ἐς EHK, Lind. – εὐρυχωρίην EHIK, Mack. – εὐρηχωρίην I. – εὐρυχωρίαν vulg. – πύος, al. manu ον H. – ῳ pro ὃ EHθ. — [5] πν. GIJK. – πύους HIJ. – πληροῦνται vulg. – πληροῦται EFHJKLθ. — [6] αἱ θ. – αἱ om. vulg. – οἱ θ. – οἱ om. vulg. – τὰ ἄλλα HK. – μᾶλλον πάντα G, Ald. – πιέζῃ E. – αὐτὸν om. θ. – ἐᾶσαι δὲ καὶ πέντε ἡμέρας θ. – δεκαπέντε ἡμέρας EHK. — [7] ὅπ. EHK. – εἰς vulg. – ἐς EHIK. – ἐλθὸν (ἐλθὼν J) τὸ πῦον (τὸ π. om. FGIJθ) ἀνέψυχέ (ἀνέψυξέ EHQ'θ, Lind., Mack) τε (ἀνέψυξέται sic K) vulg. – θώρηκι HIJ. – θώρακι vulg. – ἑωτὸ (sic) K. — [8] ὥστε καὶ αὐτὸ K. — [9] Post χρόνῳ addit λείπει L. – χρόνῳ, ἢν (addunt δὲ Lind., Mack) μὴ, φαρμάκοισι τιμωρέειν ἢ ποτοῖσιν vulg. – χρόνῳ ἢ φαρμάκοισι ἢ ποτοῖσιν θ. – Je prends la leçon de θ, en gardant τιμωρέειν. — [10] ἐν [δὲ] τῇσι Lind. – La correction de Lind. me paraît très-bonne. – τοῖσι J. – τελευταίοισιν GIJK. – τελευτέῃσι H. – ἡμέροισι J. – σπεύδειν δ' ἀναστῆναι Mack. – καθαρὰν E. – εἵνεκα vulg. – εἵνεκεν θ, Mack. — [11] Ante ἀπ. addunt

chaud, et vous infuserez dans le poumon ce qui fait sortir le pus; vous userez de tous les autres moyens qui ont cette propriété. Son régime sera celui des empyématiques. Vous dessécherez la tête afin que rien n'en découle. Si l'infusion faite dans le poumon ne mûrit ni n'amène le pus, l'abcès se fait jour du poumon dans la poitrine; après cette éruption, le malade paraît guéri, parce que le pus est passé d'un lieu étroit en un lieu large, et que l'air que nous respirons trouve à se loger dans le poumon. Mais, avec le temps, la poitrine se remplit de pus; la toux, les fièvres et toutes les autres souffrances accablent le malade plus que jamais, et la maladie devient manifeste. Après cette éruption, on laissera en repos le malade pendant quinze jours, afin que le pus mûrisse de nouveau; en effet, arrivant dans un lieu large, le pus s'est refroidi et a réuni à soi le liquide préexistant dans la poitrine, de sorte qu'il n'est plus qu'à une demi-maturation. Si donc, dans cet intervalle, le malade commence à expectorer spontanément, on secondera ce mouvement soit par les remèdes, soit par les boissons, et, dans les derniers de ces quinze jours, on se hâtera de le lever avant qu'il soit exténué davantage, maintenant la tête mondifiée à cause des écoulements. S'il ne crache pas, mais qu'il y ait des signes au côté, on incisera ou cautérisera. S'il n'y a ni expectoration ni signes au côté, on lavera, avec beaucoup d'eau chaude, le malade qui n'aura ni mangé ni bu, on l'assoiera sur un siége immobile, un aide le prendra par les épaules, et vous, secouez-le, appliquant l'oreille à la poitrine, afin de reconnaître de quel côté est le signe. Souhaitez de préférence que ce soit à gauche; car il est plus

μήτε (E, obliter. al. manu) FG (K, punctis notatum). – ἀποσημαίνηται vulg. – ἀποσημαίνεται K. – ἀποσημήνη θ. – δὲ om., restit. al. manu E. – δ' ἐς θ. – πρὸς pro ἐς I. – ταμέειν.... πλευρὰς om., restit. al. manu cum ἐς τὰς πλευρὰς ἀποσημαίνηται E. – καύσειν GI. — [12] ἀποσημαίνηται vulg. – ἀποσημήνη θ. – λοῦσαι θ. – καὶ om. JL. — [13] Ante νῆστιν addit καὶ θ. — [14] μὲν EHKθ. – δὲ pro μὲν vulg. – σειέτω K. – τοῦτον om. (H, restit. al. manu) θ. – πρὸς EHIKLQ'θ, Lind. – ἐς vulg. – ἢν pro ἵν' H. – ἴδῃς HK. – ὁποτέρωθεν EGHIJK, Ald. – πρὸς τὰς ἀριστερὰς FGHIKLθ, Lind.

ἀριστερά· θανατωδέστερον γὰρ [1]καίειν καὶ τάμνειν πρὸς τὰ δεξιά· ὁκόσῳ [2]γὰρ ἰσχυρότερά ἐστι τὰ δεξιὰ, τόσῳ καὶ τὰ νουσήματα ἐν αὐτοῖσιν ἰσχυρότερα δείκνυται. [3]Ἢν δὲ ὑπὸ πάχεος τὸ ὑγρὸν μὴ κλυδάζηται, μηδὲ ψόφος ᾖ ἐν τῷ στήθεϊ, πυκνὸν δὲ ἕλκῃ τὸ πνεῦμα καὶ οἱ πόδες ἐποιδέωσι, καὶ βήχιόν τι προσῇ, μὴ ἐξαπατάτω, ἀλλ' εὖ ἴσθι πλήρη ἐόντα τὸν θώρηκα πύου· [4]ἐς οὖν ἐρετριάδα γῆν ὑγρὴν καὶ λείην τετριμμένην καὶ χλιαρὴν ἐπιδάψας ὀθόνιον λεπτὸν, περικάλυψον κύκλῳ τὸν θώρηκα, καὶ [5]ὅκου ἂν πρῶτον ξηραίνηται, ταύτῃ χρὴ τάμνειν ἢ καίειν ὡς ἐγγυτάτω τῶν φρενῶν, φυλασσόμενος [6]αὐτῶν τῶν φρενῶν. Ἢν δὲ βούλῃ, ἀλείφων τῇ ἐρετριάδι, σκόπει ὁμοίως ὡς ἐν τῷ ὀθονίῳ, πολλοὶ δὲ ἅμα ἀλειφόντων, ἵνα μὴ τὰ πρῶτα ἀλειφόμενα ἀποξηραίνηται. Μετὰ δὲ τὴν τομὴν ἢ τὴν [7]καῦσιν τῷ μοτῷ τῷ ἐκ τοῦ ὠμολίνου χρῶ, καὶ ἐξίει κατ' ὀλίγον τὸ πῦον. [8]Ὁκόταν δὲ μέλλῃς τάμνειν ἢ καίειν, ὑποσημαίνου τωὐτὸ σχῆμα ἔχοντα, ὅπερ ἂν μέλλῃς ἔχοντα καίειν ἢ τάμνειν, ἵνα μὴ ἐξαπατήσῃ ἀνωτέρω γενόμενον ἢ κατωτέρω τὸ δέρμα, ἐν τῇ μεταβολῇ τοῦ σχήματος· καὶ τὰς [9]βῆχας φυλάσσειν ἐκ τῆς διαίτης, ὅκως μὴ ἀντισπάσουσι πάλιν ἐς τὸν πλεύμονα τὸ πῦον, κακὸν γὰρ, ἀλλ' ὡς τάχιστα [10]ὑποξηραίνεσθαι· ἐπειδὰν δὲ δωδεκαταῖος ᾖ, ἅπαν ἀφιέναι τὸ λοιπὸν πῦον, καὶ ἀπὸ τοῦ ὀθονίου μοτοῦν, καὶ ἀφιέναι δὶς τῆς ἡμέρης τὸ πῦον, καὶ τὴν ἄνω κοιλίην ἐκ [11]τῆς διαίτης ὡς μάλιστα ξηραίνειν. Ὧδε χρὴ καὶ τὰς ἐκ τῶν τρωμάτων [12]καὶ ἐκ περιπλευμονίης καὶ ἐκ καταῤῥόων μεγάλων ἐκπυήσιας, [13]καὶ

[1] Καίειν καὶ τάμνειν πρὸς τὰ δεξιὰ EHK (θ, ἐς τὰς δεξιάς). – πρὸς τὰ δεξιὰ καίειν ἢ (καὶ pro ἢ Q') τάμνειν vulg. – ὁπόσῳ GHIJK, Ald. — [2] γὰρ αὐτὰ (αὐτὰ om. θ) vulg. – νοσ. EHK. – ἐν om. θ. – γίνεται EHKθ. — [3] εἰ GI, Ald. – πάχυος (sic) GIJ. – πύον pro ὑγρὸν θ, (Mack, πῦον). – μηδὲ ψοφέῃ ἐν θ. – μήτε ψοφέῃ ᾖ ἐν Mack. – στήθει vulg. – στήθεϊ EHK. – πυκινὸν δὲ ἕλκει θ. – ἐποιδέωσι EHKθ. – οἰδέωσι vulg. – βηχίον IJK. – θώρακα E. — [4] ἐς τὴν (γῆν pro τὴν E; οὖν pro τὴν θ) ἐρετρίδα (συνερετρίδα pro τὴν ἐρετρίδα FGIJK) (ἐρετρίαδα θ, Lind., Mack) γῆν (τὴν pro γῆν EFHIJKθ; γοῦν pro γῆν Lind.) ὑγρὴν vulg. – λίην vulg. – Lisez λείην. — [5] ὅπ. EHK. — [6] αὐτῷ J. – βούλει HJK, Ald., Frob., Lind., Mack. – ἐρετρίδι E. — [7] κλύσιν θ. – τῷ (τῷ om. vulg.) ἐκ EHKP'θ. – ἐξίῃ vulg. – ἐξίει EHK, Mack. — [8] ὁπ. EHK. – καίειν ἢ τάμνειν HK. – ὑποσημαίου EIJ. – τωὐτὸ H. – τὸ αὐτὸ vulg. – σχῆμα ἔχοντα ὅπερ ἂν ὁκόταν (ὁπ. E) μέλλῃς τάμνειν ἢ καίειν (καίειν ἢ τάμνειν EK) vulg. – σχῆμα ἔχοντα ὅπερ ἂν (addit ὁκόταν al. manu H) μέλλῃς ἔχοντα καίειν ἢ τάμνειν H (θ, τάμνειν ἢ καίειν). – Le texte de vulg. ne peut subsister; celui de H, avant l'addition par une autre main, et de θ est le bon. L'auteur veut dire qu'au moment de l'opération il faut s'assurer si le patient a l'at-

dangereux de cautériser ou d'inciser à droite; en effet, autant le côté droit l'emporte en force, autant les maladies de ce côté l'emportent en intensité. Si, en raison de la densité, le liquide n'a pas de fluctuation et qu'il ne se produise pas de bruit dans la poitrine, mais que le malade ait la respiration précipitée, les pieds enflés et une petite toux, ne vous laissez pas tromper et sachez bien que la poitrine est pleine de pus. Alors prenez de l'argile d'Érétrie humide, bien broyée et chaude, trempez-y un linge léger, enveloppez-en circulairement la poitrine, et, là où le linge se séchera d'abord, il faut inciser ou cautériser aussi près que possible de la cloison phrénique, mais évitant cette cloison. Si vous voulez, contentez-vous d'enduire la poitrine avec la terre d'Érétrie, et examinez comme avec le linge; mais il faut que plusieurs enduisent en même temps, afin que les parties enduites d'abord ne se sèchent pas. Après l'incision ou la cautérisation, servez-vous de la tente de lin écru, et faites sortir le pus peu à peu. Quand vous allez inciser ou cautériser, observez que le patient conserve la même attitude où vous l'avez mis pour opérer, afin que la peau, élevée ou abaissée par le changement d'attitude, ne soit pas une cause d'erreur. On se défendra contre les toux par le régime, de peur qu'elles ne rappellent le pus dans le poumon; cela serait mauvais; il faut au contraire dessécher au plus vite. Au douzième jour, on évacuera tout le pus restant, on fera la tente en linge; on évacuera le pus deux fois par jour, et on desséchera autant que possible par le régime le ventre supérieur (*poitrine*). C'est de cette façon qu'il faut examiner et traiter les suppura-

titude qu'il doit avoir et que l'opérateur lui avait donnée au moment de commencer. Il faut donc supprimer ὁκόταν de vulg., et recevoir ἔχοντα de H et de θ. — [9] βήχας (sic) IJ. - φυλάττειν J. - ἀντισπάσωσί vulg. - ἀντισπάσουσι θ. - ἐς τὸν πλ. om. θ. - πν. EGHJK. - ἀλλ' ἐᾶν κατὰ τὴν τομὴν (ἐᾶν κ. τὴν τ. om. θ) ὡς vulg. — [10] ἀποξ. J. - δεκαταῖος K'. - Post ἢ addit κεκαυμένος θ. - ὑπόπυον pro πῦον θ. - μοτοῦ vulg. - μοτοῦν K'θ, Mack. — [11] τῆς om. J. - ὡς om. θ. — [12] καὶ τὰς (τὰς om. θ) ἐκ τῆς (τῆς om. θ) περιπλ. (περιπν. GJK) vulg. - ἐκποιήσιας GI. - ἐκποιήσειας J. — [13] καὶ [ἐκ] πρ. Lind. - πνεύμονος GJK.

προσπεσόντος τοῦ πλεύμονος τῇσι πλευρῇσι σκοπεῖν καὶ θεραπεύειν.

17. [1]Ψυκτήρια δὲ τάδε δίδου ἐπὶ τοῖσι καύσοισι πίνειν, [2]ὁκόταν βούλῃ· πολλὰ δὲ ἀπεργάζεται· τὰ μὲν γὰρ οὔρησιν [3]ποιέει, τὰ δὲ διαχώρησιν, τὰ δὲ ἄμφω, τὰ δὲ οὐδέτερα, ἀλλὰ ψύχει μοῦνον ὡς [4]ἄγγος ὕδατος ζέον, ἤν τις ἐπιχέῃ ψυχρὸν ὕδωρ [5]ἢ ψυχρῷ αὐτὸ τὸ ἄγγος πνεύματι προσαγάγῃ· δίδου δὲ ἄλλα ἄλλοισιν· οὔτε γὰρ τὰ γλυκέα πᾶσι συμφέρει, οὔτε τὰ στρυφνὰ, οὔτε τὰ αὐτὰ πίνειν δύνανται. [6]Τοῦτο μὲν, κηρίων ξηρῶν ὅσον δύο κοτύλας βρέχων ὕδατι καὶ ἀνατρίβων γευέσθω, ἕως ἂν ὑπόγλυκυ γένηται, εἶτα διηθήσας, σέλινα [7]ἐμβαλλὼν, δίδου πίνειν. [8]Τοῦτο δὲ, λίνου καρποῦ ὀξύβαφον, ὕδατος κοτύλας δέκα ἐπιχέας, ἕψειν ἐν καινῇ χύτρῃ ἐπὶ ἀνθράκων ἄζεστον, ἵνα ἀναπνέῃ, ἕως ἂν ὁ χυλὸς ἁπτομένῳ λιπαρὸς γένηται. [9]Τοῦτο δὲ, μελικρήτου ὑδαρέος καθεψήσας τὸ ἥμισυ λείπειν· ἔπειτα σέλινα ἐπιβαλὼν, τοῦτο ψυχρὸν κατ' ὀλίγον δίδου. [10]Τοῦτο δὲ, κριθὰς ἀχιλληΐδας κοτύλην αὐήνας, ἄρας τὸν ἀθέρα καὶ πλύνας εὖ, ἐπιχέας ὕδατος χοέα, ἕψει, καὶ τὸ ἥμισυ ἀπολείπων, ψύχων, δίδου πίνειν. [11]Τοῦτο

[1] Ante ψ. addit [ψυκτήρια πόματα ἐν καύσοις] Lind. — [2] ὁπ. EGHIJK. – βούλει HK. — [3] ποιέει EHK. – ἐμποιέει vulg. — [4] ἄγγους θ. – ζέων G, Ald., Frob. — [5] ἢ.... ἄλλοισιν om., restit. al. manu cum προσαγάγοι E. – προσαγάγοι GIJ, Ald., Frob., Lind., Mack. – ἅπασι θ. – ταῦτα pro τὰ αὐτὰ θ. — [6] In marg. τοῦτο μὲν πόματα ἁρμόζοντα δίδοσθαι τοῖς ἐν καύσοις πυρετοῖς F; πάντα τὰ ἁρμόζοντα δίδοσθαι τοῖς ἐν καύσοις πυρετοῖς I; πόματα ἁρμόζοντα δίδοσθαι τοῖς καυσουμένοις μετὰ πυρετὸν K. – In marg. α̅ G, (Mack in textu). – τούτω J, Lind. – κηρίον FGIJK, Lind. – ξηρὸν K, Lind. — [7] ἐμβάλλων H. — [8] β̅ G, Mack. – τούτω J, Lind. – ὀξόβαφον IJ. – κενῇ H. – ἄζεστον, ne se trouvant pas dans les lexiques, a soulevé des difficultés. Cornarius paraît avoir lu, en place, ἐᾷν ζέειν; mais il faudrait un καί devant. Foes propose de donner à ce mot le sens de *fervefactum*, l'α étant ici augmentatif; le ms. imp. de Cornarius ou K' conseille ζέσον, que Mack a reçu; mais ζέσον est aussi une pure conjecture (K' n'étant qu'un recueil de notes dues à Cornarius), et la construction ne la favorise pas puisqu'il faudrait aussi un καὶ antécédent. A la vérité, ἄζεστον étant un peu plus bas, Mack dit que θ a ζέσον, ce qui serait une autorité; mais, comme il ne s'en appuie aucunement dans la note assez longue qu'il a consacrée à ce mot, je crois qu'il a mal cité le texte de θ, et que, le rapportant pour indiquer la variante λίπῃς au lieu de λείπῃ, il y a joint par inadvertance ζέσον qui appartient à son propre texte et non à celui de θ. Cela établi, je ne vois aucune raison pour changer ἄζεστον; ζεστὸς est grec, ἄζεστος le sera aussi, comme πεπτὸς et ἄπεπτος. C'est un mot à mettre dans les lexiques. – ἁπτομένω ὁ χυλὸς K. — [9] γ̅ G, Mack. – τούτω J, Lind. – ὕδατος G. – ἐμβάλλων θ.

tions provenant de blessures, de péripneumonies, de grands catarrhes, de la chute du poumon contre les plèvres (Des Mal., II, § 59).

9. [5]Ἢν ἐκ τόκου μὴ καθαρθῇ, οἰδέει ἡ γαστὴρ καὶ τὰ σκέλεα, καὶ ῥῖγος καὶ ὀδύνη τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας ἔχει· ἔστι [6]δ' ὅτε καὶ πρὸς τὰ σπλάγχνα [7]ἀνέρχεται, καὶ λειποψυχέει· ταῦτα πάσχει ἀρχομένης τῆς νούσου· ὁκόταν δὲ χρόνος ἐγγένηται, τὰ [8]κύλα τοῦ προσώπου ἐξερυθριᾷ. Ὁκόταν ὧδε ἔχῃ, πυριήσας τὰς ὑστέρας προσθεῖναι τὴν κυκλάμινον· πινέτω δὲ τὸ ξὺν τῇ δαδὶ, ἔστ' ἂν τὸ ῥεῦμα κινηθῇ· [9]ἐσαλείφειν δὲ ἐς τὸ στόμα τῶν ὑστερέων στέαρ χήνειον καὶ σμύρναν καὶ ῥητίνην χλιερὴν, καὶ ἐμπλασσέσθω ὡς μάλιστα, καὶ πρὸ τοῦ [10]σιτίου ἐσθιέτω ἑψοῦσα τὴν λινόζωστιν, καὶ σκόροδα, καὶ πράσα, καὶ κράμβης τὸν χυλὸν ῥοφεέτω, καὶ σιτίοισι μαλθακοῖσι χρήσθω, θαλασσίοισι δὲ μᾶλλον, καὶ λουέσθω [11]θερμῷ· τῶν δὲ λιπαρῶν καὶ τῶν γλυκέων ἀπεχέσθω, ἕως ἂν ὑγιὴς γένηται.

10. [12]Ἢν αἱ μῆτραι [13]φλεγμήνασαι πρησθῶσι, φῦσα ἐγγίνεται,

[1] Ἀποκολούσασα θ. – ἀποκαυλούσασα C. – ἀποκόψασα vulg. – κόκκους πέντε om. C. – σιπύης FGK, Ald. – σιπίης CHI. — [2] [καὶ] σπ. Lind. – λίνου vulg. – σελίνου Corn. ex libro II de Morb. mul. – σελίνου paraît préférable pour un remède emménagogue. – ὀλίγον Cθ. – ὀλ. om. vulg. – ἡ pro ἢν C. – Ante ὀδύνη addit μὴ θ. – ἐνῇ ex libr. II de Morb. mul. – ἔχῃ (ἔχει C) pro ἐνῇ vulg. – Lind. supprime ἔχῃ et ἢν, correction à laquelle on échappe avec ἐνῇ. – καθίσθω θ. — [3] μὴ om. C. — [4] σ. Cθ. – δὲ om. C. – λινόζωστιν Cθ. – λινοζώστιδα vulg. – λινοζῶστιν J. – μαλακοῖσι J. – χρήσθω Cθ. – νούσου CD, Lind. – νόσου vulg. – ἢν Cθ. – ἐὰν vulg. – ἔχῃ θ. — [5] ἕβδομον J. – περὶ τῆς ἐκ τόκου μὴ καθαιρομένης, καὶ θεράπεια αὐτῆς θ. – οἰδέῃ Ald. – νειαίραν C. – νειαίρην D. – νειέρην H. – νείαιραν vulg. – νειαιρὴν Lind. – ἔχῃ θ. — [6] δὲ ὁκόταν C (ὁκότε θ). — [7] ἀνέρχονται C. – λειποψυχέει CDHJ, Lind. – λιποψυχέει vulg. – ἀρχόμενος C. – νούσου CDHJ, Lind. – νόσου vulg. — [8] κοῖλα vulg. – κοίλα θ. – κοινὰ C. – Voy. Schneider, Lex., au mot κυλοιδιάω. – ὁκόταν οὖν vulg. – οὖν om. Cθ. – κλάμινον (sic) C. – σὺν C. – δαιδὶ vulg. – δαδει (sic) θ. – δαδὶ C. — [9] ἐπαλ. D. – ἐς ἀλείφει (sic) θ. – στέαρ C. – ἔλαιον pro στέαρ vulg. – χήνιον θ. – σμύραν (sic) C. – χλιερὴν θ. – χλιηρὴν DK. – χλιαρὴν vulg. –

des règles, si le sang fait éruption, très-bien; sinon, la femme prendra en breuvage quatre cantharides sans les pieds, les ailes et la tête, cinq grains noirs de pivoine, des œufs de sèche et un peu de graine de persil dans du vin. S'il survient de la douleur et de la strangurie, elle prendra un bain de siége chaud, et boira du mélicrat étendu d'eau. Si une première administration n'amène pas les règles, on recommencera jusqu'à ce qu'elles arrivent; les règles arrivées, elle s'unira, à jeun, avec son mari. Pendant les règles, elle mangera de la mercuriale, des poulpes bouillis, et usera d'aliments émollients. Elle guérit de la maladie en devénant enceinte.

9. (*Lochies coulant mal.*) Quand à la suite de l'accouchement les purgations ne procèdent pas, le ventre se gonfle ainsi que les jambes; il y a frisson; la douleur se fait sentir au bas-ventre et aux lombes; parfois même elle gagne les viscères, et la malade est prise de défaillance. Elle éprouve ces accidents au début; quand le mal se prolonge, le dessous des yeux rougit. Les choses étant ainsi, on fumige les matrices, et on met en pessaire le cyclamen. Elle boira la préparation avec les branches de pin (*tæda, pinus abies*), jusqu'à ce que le flux commence. On oindra l'orifice des matrices avec la graisse d'oie, la myrrhe, la résine chaude, et on en mettra le plus possible. Avant le repas, elle mangera de la mercuriale cuite, de l'ail et du porreau; elle boira l'eau de chou; elle usera d'aliments émollients, venant surtout de la mer; elle se lavera à l'eau chaude. Elle s'abstiendra des choses grasses et douces jusqu'au retour de la santé.

10. (*Air développé dans la matrice et leucorrhée.*) Si les

ἐμπλαζέσθω vulg. – ἐμπεζέσθω C. – ἐμπλασσέσθω K. — [10] σίτου Cθ. – ξὔουσα (sic) C. – τὴν λινόζωστιν ἐψ. D. – λινόζωστιν Cθ. – λινοζῶστιν vulg. – ῥηφεέτω (sic) C. – ῥοφεέτω Lind. – ῥοφείτω vulg. — [11] θ. om. J. – τῶν δὲ γλ. καὶ τῶν λιπαρῶν θ. – ἔστ' pro ἕως C. — [12] ὄγδοον J. – περὶ μήτρης φλέγματος καὶ ἐμπρήσεως, καὶ θεράπεια αὐτῆς θ. — [13] φλέγματος πλησθῶσιν Vatic. Codd. ap. Foes in not. – πλησθῶσι vulg. – πληθῶσι Ald. – πλησθῶσι, eadem manu ρ C. – La leçon par ρ est la bonne. – φύσσα CJ. – ἐνγίγνεται θ. – καὶ τὰ ἐ. λ. ἐπ. om. C. – ἔμμηνα θ. – ἐπέρχεται DGHIJKθ, Ald., Lind. – ἀπέρχ. vulg. – [καὶ] φλεγμ. Lind. – φλεγματώδης C.

καὶ τὰ ἐπιμήνια λευκὰ ἐπέρχεται φλεγματώδεα· ἔστι δ' ὅτε [1]καὶ αἷμα λεπτῶν ὑμένων ἔμπλεων· καὶ τῷ ἀνδρὶ ὑπὸ τῆς ὑγρότητος οὐκ ἐθέλει μίσγεσθαι, καὶ ὠχρὴ καὶ λεπτὴ γίνεται. [2]Ἐρέσθαι οὖν χρὴ αὐτὴν τὸ ῥέον ἢν δάκνῃ τε καὶ ἐξελκοῖ· καὶ ἢν μὴ [3]δάκνῃ, ἀπὸ τοῦ ἐγκεφάλου φάναι εἶναι τὸ ῥεῦμα· [4]εἰ δ' οὖν, ἀπὸ τῆς κοιλίης. Ἢν μὲν οὖν ἀπὸ τῆς κοιλίης ᾖ, ἐμείτω ἀπὸ τοῦ φακίου· ἔπειτα ἐλλεβόρῳ καθῆραι, ἔπειτα [5]ἐς τὰς ῥῖνας ἐνεῖναι· ἐπὴν δέ σοι ἡ ἄνω κοιλίη κεκαθάρθαι δοκέῃ, φάρμακον πῖσαι κάτω· [6]σιτίων δὲ ἀπεχέσθω λιπαρῶν καὶ γλυκέων· τὰ δὲ δριμέα προσφέρειν ὡς ξύμφορα, ἢν [7]μὴ τὰ αἰδοῖα ἡλκωμένα ἔῃ· ψυχρὰ δὲ ἀμείνω· καὶ λουέσθω ὀλίγῳ, πλὴν μὴ θερμῷ, μηδὲ τὴν κεφαλήν· πινέτω δὲ νῆστις ὑπερικὸν, λίνου σπέρμα, ἐλελίσφακον ἐν οἴνῳ ὑδαρεῖ· ἐπὴν δὲ παύσηται τὸ ῥεῦμα, κλύσαι τῷ χυλῷ τῶν [8]ὀλύνθων, καὶ μετακλύζειν τοῖσι στρυφνοῖσιν. Ἡ δὲ νοῦσος χαλεπή.

11. [9]Ἢν αἱ μῆτραι φλεγμήνωσι, τα εμμήνια οὐ γίνεται παντάπασιν, ἢ πονηρὰ καὶ ὀλίγα· καὶ ὁκόταν νῆστις [10]ᾖ, ἔμετος αὐτὴν λαμβάνει· ὁκόταν δέ τι φάγῃ, ἐμέει τὰ σιτία, καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας, καὶ [11]λειποψυχίη ἴσχει· ἡ δὲ γαστὴρ ὁτὲ μὲν σκληρὴ, ὁτὲ δὲ μαλθακή ἐστι, καὶ φυσᾶται, καὶ μεγάλη γίνεται, καὶ δοκέει ἐν γαστρὶ ἔχειν· ἢν [12]δὲ ἀφασσήσῃ, κενεὸν γίνεται τὸ πλήρωμα· ταύτῃ μέχρι [13]μὲν δέκα μηνῶν τὸ οἴδημα κατ' ὀλίγον αὔξεται, οἷόν περ τῇ ἐν γαστρὶ ἐχούσῃ· ἐπὴν δὲ οἱ δέκα μῆνες παρέλθωσιν, ἐμπίπλαται ἡ γαστὴρ [14]καὶ ὕδατος, καὶ ὁ ὀμφαλὸς ἐξί-

[1] Καὶ om. Cθ. – λεπτῶν C. – λεπτὸν vulg. – ἔμπλεων CDFGIJK, Ald. – ἔμπλεον vulg. – γίγνεται C. — [2] ἔρεσθαι I, Ald., Frob., Lind. – αἵρεσθαι θ. – ἔρεσθαι (sic) οὖν αὐτῇ χρὴ D. – ἐρέσθαι γοῦν αὐτὴν χρὴ J. – αἵρεσθαι οὖν χρῆσθαι οὖν χρὴ αὐτὴν C. – αὐτῇ HIK. – μὴ δάκνεται pro ἢν δάκνῃ τε C (θ, δάκνειται). – δάκνηται pro δάκνῃ τε DHIKQ'. – καὶ ἐξελκοῖ om. C. — [3] δάκνῃ Cθ. – δάκνηται vulg. – φαίην DFGHIJK. — [4] ἢν δὲ δάκνῃ pro εἰ δ' οὖν Cθ, Exempl. Vaticana ap. Foes. — [5] εἰς I, Ald. – καθάρθαι (sic) G. – δοκέῃ C. – δοκῇ vulg. — [6] σίτων Cθ. – σιτείων G. – ἀπεχέτω D. – ἀπέχεσθαι K. – καὶ γλ. om. C. – συμφέρει pro προσφ. ὡς ξ. Cθ. – ξύμφορα J. – σύμφ. vulg. — [7] δὲ pro μὴ C. – εἰλκ. θ. – ἧλκ. I. – εἴη DFHIJKQ'. – ἔῃ Lind. – ᾖ (ᾖ om. C) vulg. – λούσθω θ. – ὀλίγῳ CDθ. – ὀλίγον vulg. – καὶ pro πλὴν Cθ. – ἐν θερμῷ DFGHIJKQ', Lind. – λινούσπερμα θ. – ὑδαρὲς C. — [8] ὀλίνθων DH. – ὀλόνθων Iθ. – ὀδόντων C. – τοῖς θ. — [9] ἔνατον J. – περὶ φλέγματος μήτρης καὶ θεράπεια θ. – ἐπιμήνια IKθ. – ἐκμήνια FGJ. – ἢ οὐ γίν. J. – παντάπασιν οὐ γίγνεται C (γίν. θ). – φαίνεται L. — [10] ᾖ om. C. – τι φ. om. C. – ἐμέῃ C. – ὀδύνην C. – ἔχει om. D. – κατὰ τὴν νειαίραν C. – νειαίρην D. – νειέρην H. – νείαιραν vulg. — [11] λιπ.

matrices enflammées se gonflent, il se développe de l'air, et les règles viennent blanches et pituiteuses; parfois s'écoule un sang ténu, plein de membranes. A cause de l'humidité des parties, la femme ne veut pas avoir de rapport avec son mari; elle jaunit et maigrit. Il faut lui demander si le flux est mordant et cause des ulcérations; s'il n'est pas mordant, dites qu'il vient de l'encéphale; s'il est mordant, dites qu'il vient du ventre. S'il vient du ventre, la malade vomira avec la décoction de lentilles; puis on l'évacuera avec l'hellébore, ensuite on en mettra dans les narines. Quand le ventre supérieur vous paraîtra assez purgé, un évacuant par le bas sera administré. Elle s'abstiendra d'aliments gras et doux. Les aliments âcres seront prescrits comme utiles, à moins que les parties génitales ne soient ulcérées; il vaut mieux les donner froids. Elle se lavera avec peu d'eau, qui ne sera pas chaude, et ne se lavera pas la tête. A jeun, elle boira l'hypéricon (*hypericum crispum*, L.), la graine de lin, la sauge, dans du vin coupé d'eau. Lorsque le flux aura cessé, on fera, avec le suc de figues vertes, des injections qui seront suivies d'injections astringentes. La maladie est difficile.

11. (*Inflammation de la matrice; gonflement du ventre; ascite.*) Si les matrices s'enflamment, les règles ne viennent pas du tout, ou ne viennent que peu et mauvaises. Quand la femme est à jeun, elle est prise de vomissement; si elle a mangé quelque chose, elle revomit les aliments. La douleur tient le bas-ventre et les lombes; il y a défaillance. Le ventre est tantôt dur, tantôt mou; il se météorise; il devient gros, et on dirait une grossesse; mais, si vous touchez, la tumeur est vide. Le gonflement croît peu à peu jusqu'à dix mois, comme

θ. – ἀποψυχίη DFGHIJK. – λειποψυχεῖ· ἴσχει δὲ ἡ γαστὴρ C. – καὶ ἡ γαστὴρ J. – τότε (bis) Cθ. – φυσσᾶται J. — [12] δὲ σαψάσση C. – δὲ σαφάσση θ. – ἐσφασσήση Vaticana exempl. ap. Foes. – ἐσαφάσσῃς Lind. – γίγνεται C. — [13] μὲν om. K. – τῶν δέκα vulg. – τῶν om. CHIJKθ. – αὔξεται om. Cθ. – ὥσπερ D, Lind. – τῇ om. Cθ. – οἷόν περ ἐν τῇ γαστρὶ ἐχούσῃ DH. — [14] καὶ C. – καὶ om. vulg. – ὕδατα F. – κωμφαλος (sic) pro καὶ ὁ ὀμφ. θ. – ἐξίσχῃ J. – ἴσχει C.

σχει, [1] καὶ ἢν ἐσαφάσσῃς τὸν δάκτυλον, εὑρήσεις τὰ στόμα ἰσχνὸν καὶ ξυμπεπτωκὸς τῆς μήτρης· καὶ [2] ἐπ' οὖν ἐφάνη τὰ ἐπιμήνια ὀλίγα καὶ πονηρὰ, καὶ τὰς κληῖδας καὶ τὸν τράχηλον λεπτύνεται, καὶ οἱ πόδες οἰδέουσιν. [3] Ὁκόταν ὧδε ἔχῃ, φάρμακον πῖσαι κάτω, καὶ προστιθέναι πρὸς τὰς ὑστέρας [4] ὁκόσα καθαίρει μὴ δάκνοντα, καὶ μετὰ τὴν πρόσθεσιν κλύζειν τὰς ὑστέρας, ἴσον τὸ ὄξος μίσγων ὀξύτατον· καὶ τὴν λινόζωστιν ἐσθιέτω, καὶ τὸν χυλὸν, ἐπιβάλλουσα ἄλητον, [5] ὁκόταν ἑφθὸν ᾖ, ῥοφεέτω. Ἡ δὲ νοῦσος ἐπικίνδυνός ἐστιν.

12. [6] Ἐρυσίπελας ἢν ἐν τῇσι μήτρῃσιν ἐγγένηται, οἴδημα γίνεται ἀπὸ τῶν ποδῶν ἀρξάμενον ἐς τὰ σκέλεα καὶ τὴν ὀσφύν· ὅσῳ δ' ἂν [7] πλείων χρόνος γένηται, οἰδέει καὶ ἡ γαστὴρ, καὶ ῥῖγος καὶ πυρετὸς λαμβάνει καὶ ἀσθένεια· ὑπὸ δὲ τῆς ὀδύνης οὐ δύναται [8] ἡσυχάζειν, ἀλλὰ ῥίπτει ἑωυτήν. Ἡ δὲ ὀδύνη ἀνέρχεται ἐκ τῆς νειαίρης γαστρὸς ἐς τὰς ἰξύας· ἔπειτα ἄνω [9] ἔρχεται ἐπὶ τὰ ὑποχόνδρια καὶ τὰ στήθεα καὶ τὴν κεφαλὴν, καὶ δοκέει ἀποθανεῖσθαι· ὁκόταν δὲ ἀνῇ, νάρκη λαμβάνει τὰς χεῖρας· ἔστι δ' ὅτε καὶ [10] τοὺς βουβῶνας καὶ τὰ σκέλεα καὶ τὰς ἰγνύας· [11] καὶ πελία γίνεται, [12] καὶ ὀλίγον ποτὲ χρόνον ῥάων δοκέει εἶναι, ἔπειτα αὖθις τὰ αὐτὰ πάσχει, καὶ ὁ [13] χρὼς φλυκταινῶν καταπίμπλαται, καὶ τὸ πρόσωπον ἐρυθήματα φύει, καὶ [14] δίψα ἔχει ἰσχυρὴ, καὶ ὁ φάρυγξ ξηρός. Αὕτη ἡ νοῦσος

[1] Κὴν θ. – ἐσσαφέσσῃ F. – ἐσαφήσῃ CD. – ἐσαφάσσῃ HIJθ, Ald. – ἐσαφάσῃ K. – ἐσαφεύσσῃ G. – ἐς τὸν DFGHIJK. – τῷ δακτύλῳ Q', Lind. – εὑρήσει Cθ. – καὶ om. C. – συμπ. CKθ. — [2] ὅπου (ἐπὴν C) ἐφάνη vulg. – ἐπουνεφάνη θ. – La leçon de θ est la bonne; voy. t. VI, p. 271, la note additionnelle. – ὀλίγα [ἐστὶ] καὶ Lind. — [3] καὶ ὁκόταν C. – οὖν (δὲ pro οὖν θ; οὖν om. C) ὧδε vulg. – τε pro τὰς C. — [4] ὅσα Cθ. – μὲν μὴ C. – ὄζος C. – μεῖζον pro μίσγων C. – ὀξυτάτῳ DH. – ὀξυτάτου θ. – ὀξύτητι J. – λινόζωστιν CD. – λινοζῶστιν vulg. – ἐπιβάλλουσιν C. — [5] καὶ (καὶ om. Cθ) ὁκ. vulg. – ῥοφεέτω J. – ῥοφείτω vulg. — [6] δέκατον J. – ἢν ἐρ. δὲ ἐν vulg. – ἐρ. ἢν ἐν Cθ. – ἐγγίνηται C. – οἴδημα γίν. om. (D, restit. al. manu) FGHIJK. – ἀρξάμενος (D, al. manu ον) HJ. – ἀρξάμενα FG. – καὶ ἐς vulg. – καὶ om. Cθ. – σκέλη DK. – τὴν ὀσφῦν CDGHIJKθ, Ald., Frob., Lind. – τὴν om. vulg. – ὀσφῦν vulg. — [7] πλείω Cθ. – ὁ χρόνος vulg. – ὁ om. CDFHIJθ. – γένηται C. – ἐγγένηται vulg. – οἰδέει J, Lind. – οἰδεῖ vulg. — [8] ἡσυχάζων θ. – ῥέπει K. – σαυτὴν θ. – ἀνέρχεται post γαστρὸς C. – νειαίρας C. – νειέρης H. – νιαιρὰς θ. – νειαιρῆς Lind. — [9] ἔρχ. om. C. – ἐπὶ C, Vaticana exempl. ap. Fœs, Lind. – ὑπὸ vulg. – ἄνη C. – ἂν ἡ Ald. — [10] αὐτοὺς pro τοὺς C. – τοὺς pro τὰς C. — [11] καὶ om. CDFGHIJ Kθ, Ald. – Cette unanimité de nos mss. à rejeter ce καὶ mérite considéra-

chez une femme enceinte; mais, quand les dix mois sont passés, le ventre s'emplit d'eau, le nombril devient saillant; et, si vous touchez avec le doigt, vous trouverez l'orifice de la matrice mince et affaissé. A ce moment se montrent des menstrues peu et mauvaises. La femme maigrit des clavicules et du cou, et les pieds enflent. Les choses étant ainsi, un évacuant par le bas sera administré; et on appliquera aux matrices ce qui purge sans irriter; après l'application de ces pessaires, on fera dans les matrices une injection moitié eau et moitié vinaigre très-fort. La malade mangera de la mercuriale, et elle en prendra l'eau en potage, y jetant de la farine qu'elle y laissera cuire. La maladie est dangereuse.

12. (*Phlegmasie utérine.*) Quand l'érysipèle survient dans les matrices (Aph., v, 43), il se forme un gonflement qui, commençant par les pieds, gagne les jambes et les lombes. A mesure que le temps se passe, le ventre se tuméfie aussi; il y a frisson, fièvre et faiblesse. La douleur empêche la malade de reposer, et elle est en proie à la jactitation. La douleur va du bas-ventre aux lombes; puis elle monte aux hypochondres, à la poitrine et à la tête, et la malade semble expirante. Quand la douleur se relâche, l'engourdissement s'empare des bras; parfois des aines, des jambes et des jarrets. La femme devient livide; par moments elle paraît être mieux, puis bientôt elle éprouve les mêmes accidents. La peau se remplit de phlyctènes, le visage se couvre de rougeurs, la soif est intense, et la gorge sèche. Cette maladie, survenant chez une femme en-

tion; toutefois, en comparant le passage parallèle, De Morb. mul., II : νάρκη ἔχει τὰς ἰξύας καὶ τοὺς βουβῶνας καὶ τὰ σκέλεα, καὶ ἐν τῇσιν ἰγνύῃσιν πελία γίνεται, on reste dans le doute. – πελιὸς vulg. – πέλιος Lind. – πελιὰς Vaticana exempl. ap. Foes. – πελιὰ C. – πελια (sic) θ. – γίγν. C. — [12] καὶ ὁκόταν (ὅταν θ) ὀλ. χρ. ῥ. δοκέῃ (δοκέει θ) εἶναι Cθ. – δοκέῃ Ald. – ἔπειτ' D. – ἔπ. [δὲ] Lind. – ἴσχει pro πάσχει Cθ. — [13] χρόνος, al. manu χρὼς D. – χρόος GHIJ. – φλικταίνων C. – φλυκταίνων IJKθ. – φλυκτενῶν H. – τὰ πρόσωπα C. – [ἐς] τὸ πρ. Lind. – ἴσχει pro φύει Cθ. — [14] δίψη D. – ἔχει om. Cθ. – φάρυγξ est ordinairement du féminin dans la Collection hippocratique; voy. t. V, p. 541, note 9. Ici l'unanimité de nos mss. rapprochée du passage du t. V, peut faire douter de la règle posée par Galien.

[1] ἢν μὲν κυούσῃ ἐπιγένηται, ἀποθνήσκει· ἢν δὲ μὴ, μελεδώνῃ ἐκφυγγάνει. [2] Ὁκόταν ὧδε ἔχῃ, προσφέρειν δεῖ, ἢν ὁ πόνος ἔχῃ, ψύγματα, καὶ τὴν γαστέρα ταράσσειν. [3] Καὶ ἢν μὲν ἐν γαστρὶ ἔχῃ, σιτίοισι καὶ ποτοῖσι χρῆσθαι, ὅκως τὸ ἔμβρυον μὴ διαφθείρηται, ἢν δὲ μὴ ὑποχωρέῃ, κλύζειν· ἢν δὲ μὴ ἔχῃ ἐν γαστρὶ, φάρμακον δοῦναι πιεῖν, καὶ ὡς ἐλαχίστοισι σιτίοισι χρῆσθαι [4] καὶ ὡς μαλθακωτάτοισι καὶ ψυχροῖσι, καὶ τὴν λινόζωστιν ἐσθιέτω καὶ τὴν ἀκτὴν, καὶ μήτε ἁλυκὰ μήτε λιπαρὰ μήτε δριμέα, οἷον ὀρίγανον [5] ἢ θύμβον ἢ πήγανον. Ἐπὴν δὲ τὸ πῦρ ἀφῇ καὶ τὸ πνίγμα, καὶ μὴ καταστῇ τὸ οἴδημα, φάρμακον ἰσχυρότερον μεταπῖσαι κάτω. Τὴν δὲ [6] νοῦσον ὀλίγαι διαφεύγουσιν.

13. [7] Ἢν αἱ μῆτραι παρὰ φύσιν χάνωσι, τὰ ἐπιμήνια πλέω τοῦ δέοντος ἔρχεται καὶ γλισχρότερα καὶ πυκνὰ, καὶ ἡ γονὴ οὐκ [8] ἐμμένει, καὶ ἢν ἅψῃ τῷ δακτύλῳ, εὑρήσεις κεχηνὸς τὸ στόμα, καὶ πῦρ, καὶ ῥῖγος, καὶ ὀδύνη λαμβάνει τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας. Αὕτη ἡ νοῦσος λαμβάνει ἐκ ῥόου αἱματώδεος· [9] γίνεται δὲ ὁκόταν τὰ καταμήνια ἐξαπίνης ἱστάμενα ῥαγῇ. [10] Κἂν ἡ ὀδύνη μάλιστα ἔχῃ, χλιάσματα προστιθέναι, [11] καὶ πυριῆν τὰς ὑστέρας, καὶ πῖσαι φάρμακον κάτω, καὶ προστιθέναι ὁκόσα μὴ δήξεται, καὶ κλύζειν μετὰ τὰ προσθετὰ [12] στρυφνοῖσι, καὶ λούεσθαι ὡς ἥκιστα· σιτίοισι δὲ ὡς ξηροτάτοισι χρέεσθαι· ἢν δὲ ταῦτα [13] ποιέουσα ὑγιὴς μὴ γένηται, φάρμακον πῖσαι, ὑφ' οὗ ἄνω καὶ κάτω καθαρεῖται· ὁκόταν τὰ ἐπιμήνια [14] κινέηται, καὶ ὁκόταν παύηται, διαιτᾷν τὸν αὐτὸν τρόπον. Ἡ δὲ νοῦσος θανατώδης.

[1] Ἐπὴν κυοφορούσῃ (κυοφορήσῃ DGHJ, Ald.) (εἰ FGHIJK) ἐγγίνεται (ἐγγίνηται H, Lind.) vulg. – ἢν μὲν κυούσησιν (κυούσῃ θ) ἐπιγένηται Cθ. – μελεδαινομένη ὑγιαίνει vulg. – μελεδωνὴ (sic) ἐκφυγγάνει C (θ, μελεδωνηι, sic). — [2] ὁκόταν οὖν vulg. – οὖν om. Cθ. – δεῖ προσφέρειν post ψύγματα IJ. – λίην pro δεῖ, ἢν θ. – ἔχει C. – Post ψύγματα addit δεῖ προσφέρειν H. — [3] καὶ om. Cθ. – ἢ pro ἢν C. – σίτοισι Cθ. – χρῆσθαι om. Cθ. – μὴ CFHIJθ, Ald., Lind. – μὴ om. vulg. – κλύζει θ. — [4] καὶ ὡς θ. – καὶ ὡς om. vulg. – χρήσθω pro μαλθ. C. – μαλθ. [τε] Lind. – λινόζωστιν CD. – λινοζῶστιν vulg. – ἐσθίειν Q', Lind. — [5] καὶ pro ἢ H. – ἢ π. ἢ θ. J. — [6] νοῦσον ταύτην (ταύτην om. Cθ) vulg. — [7] ἑνδέκατον J. – καὶ (καὶ om. Cθ) τὰ vulg. – ἐμμήνια C. – ἔμμηνα θ. – πλείονα Cθ. – ἔρχηται D. – πυκινὰ θ. — [8] ἐμμένῃ FGIJ, Ald. – τὸ στόμα om. Cθ. – λαμβάνῃ I. – νειαίραν vulg. – νείραν H. – νειαίρην CD. – νειαιρὴν Lind. – Post γάστ. addit λαμβάνει C. — [9] γίγν. C. – δὲ om. C. — [10] καὶ ἢν sine ἡ D. – ἔχῃ, μάλιστα θ. — [11] καὶ ὁκόταν ᾖ (ἀνῇ Cornar., Lind.)

ceinte, cause la mort; hors l'état de grossesse, le traitement la guérit. Les choses étant ainsi, on administrera, s'il y a douleur, des choses rafraîchissantes, et on lâchera le ventre. En cas de grossesse, la femme usera d'aliments et de boissons de manière à ne pas avorter, et, si elle ne va pas à la selle, elle prendra des lavements. Mais, n'étant pas grosse, on lui fera boire un évacuant, et elle prendra le moins d'aliments possible, froids et les plus émollients. Elle mangera de la mercuriale et du sureau, et s'abstiendra des choses salées, des choses grasses, des choses âcres, telles que l'origan, le thym ou la rue. Quand la fièvre et l'étouffement cessent sans que le gonflement s'en aille, on lui administrera un purgatif plus énergique. De cette maladie peu réchappent.

13. (*Orifice utérin béant.*) Quand les matrices sont béantes contre nature, les règles viennent plus abondantes qu'il ne faut; elles sont plus visqueuses et reparaissent fréquemment. La semence ne demeure pas. Si vous touchez avec le doigt, vous trouvez l'orifice béant; il y a fièvre, frisson, douleur au bas-ventre et aux lombes. Cette maladie prend à la suite d'un flux sanguin; elle survient quand les règles, supprimées, font soudainement éruption. Si la douleur est intense, on fera des applications chaudes, des fumigations aux matrices; on prescrira un médicament qui évacue par le bas, et, en pessaire, ce qui n'irrite pas; après les pessaires, injections astringentes; très-peu de bains. La femme usera des aliments les plus secs. Si ces moyens ne rétablissent pas la santé, on prescrira un médicament qui évacue par haut et par bas. Au moment où les règles commencent et au moment où elles finissent, la malade suivra le même régime. Cette maladie est dangereuse.

πυριῆν vulg. – ὁκόταν ᾖ om. DGHIJK. – δήξηται vulg. – δέξηται CDGHIJK. – δήξεται θ. — [12] ἐν στρ. vulg. – ἐν om. Cθ, Ald. – στιφροισι (sic) θ. – ὡς ἥκιστα om. C. — [13] ποιέουσα Lind. – παθοῦσα vulg. – La correction de Lind. est bonne. – μὴ ὑγιὴς θ. – καθαίρηται vulg. – καθαριεῖται C. – καθαρεῖται θ. — [14] κινῆται C. – κινέεται HK. – διαίτα vulg. – δίαιτα DGI. – διαιτᾶν Cθ, Vaticana exempl. ap. Foes, Lind.

14. [1] Ἢν αἱ μῆτραι ἐς τὸ μέσον τῶν ἰξύων ὦσιν, ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα καὶ τὰ σκέλεα ὕστερον, καὶ ὁκόταν ἀποπατήσῃ, ὀδύναι ἐγγίνονται [2] ὀξύτεραι, καὶ ὁ ἀπόπατος προέρχεται ὑπὸ βίης, καὶ τὸ οὖρον στάζει, καὶ λειποψυχέει. Ὁκόταν ὧδε ἔχῃ, αὐλίσκον προσδήσας [3] πρὸς κύστιν, φυσῆσαι τὰς ὑστέρας, [4] καὶ πυριῆσαι ἢ λοῦσαι πολλῷ θερμῷ, καὶ ὑποθυμιῆν ὑπὸ τὰ αἰδοῖα [5] κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας εὐώδεα· ὁκόταν [6] δὲ ἡ ὀδύνη παύσηται, φάκιον προπίσας, φάρμακον πῖσαι ἄνω, ὑφ' οὗ ἡ κοιλίη οὐ κινηθήσεται. Ἐπὴν δὲ αἱ ὑστέραι καταστῶσιν ἐς χώρην, φάρμακον πῖσαι κάτω καὶ γάλα μεταπῖσαι· ἔπειτα πυριήσας τὰς ὑστέρας [7] οἴνῳ, τὰ σὺν τῇ δάφνῃ ἐμβάλλειν, καὶ προστιθέναι ἃ μὴ δήξεται, ξυμμίσγων τὸ ὄξος· ἔπειτα ὑποθυμιῆν τοῖσιν ἀρώμασιν. Ἄτοκοι δὲ καὶ [8] χωλαὶ ἐκ ταύτης τῆς νούσου γίνονται.

15. [9] Ὁκόταν δὲ ῥόος λευκὸς ἐγγένηται, οἷον ὄνου οὖρον φαίνεται, καὶ ὀδύνη ἔχει τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας, καὶ οἰδήματα τῶν [10] τε σκελέων καὶ τῶν χειρῶν, καὶ τὰ κύλα αἴρεται, καὶ οἱ ὀφθαλμοὶ ὑγροὶ, καὶ ἡ χροιὴ ἰκτερώδης καὶ λευκὴ γίνεται, [11] καὶ ὁκόταν πορεύηται, ἀσθμαίνει. Ἡ δὲ νοῦσος γίνεται, ἢν φύσει ἐοῦσα φλεγματώδης πυρεταίνῃ, καὶ [12] χολὴ κινηθεῖσα μὴ καθαρθῇ· ἢν μὲν οὖν ἡ κοιλίη ᾖ ὀξέη, διάῤῥοιαι γίνονται· ἢν [13] δὲ ἐπὶ τὰς ὑστέρας τράπηται, ῥόος γίνεται. Ταύτην ἐπὴν [14] ῥόος ἔχῃ, τρίβων μή-

[1] Δωδέκατον J. – περὶ μητρῶν εἰς τὰς ψόας ἐνπίπτουσι (sic) θ. – εἰρύαται pro ὦσιν legit Cornar. – Il faut peut-être lire εἰλέωσι, comme dans le passage parallèle du IIe livre des Maladies des Femmes. – νειαίρην CD. – νείεραν H. – νειαιρὴν Lind. – ὕστατα Cθ. – ἐνγίνωνται θ. — [2] ὀξ. om. C. – προέρχεται CL, Lind. – προσέρχεται vulg. – ὑπὸ βίης Cornar. ex libro II de Morb. mul. – ὑπὸ βίης om. vulg. – λειποψυχέει CDHJ, Lind. – ληποψυχέει θ. – λιποψυχέει vulg. — [3] πρὸς [τὴν] Lind. – φυσσῆσαι J. – Il est très-probable qu'il y a ici une altération du texte; car le passage parallèle dit, non pas qu'on *insufflera* la matrice, mais qu'on y injectera de l'huile tiède. — [4] καὶ om. Cθ. – πυριήσας ἢ λούσας Cθ. – πολλῷ καὶ θερμῷ DGHJK. — [5] τὰ (τὰ om. Cθ) κακ. vulg. – τὰ (τὰ om. Cθ) εὐώδεα vulg. — [6] δὲ om. C. – ὧδε ἔχῃ pro δὲ θ. – φάκεον C. – προσπεῖσαι (sic) pro προπίσας C. – οὐ om. vulg. – Il faut ajouter οὐ non-seulement d'après le sens, mais aussi d'après le passage parallèle du IIe livre des Maladies des Femmes. – κοινηθήσεται C. — [7] ἐν οἴνῳ D. – ἐμβάλλειν Cθ. – ἐμβαλεῖν vulg. – προσθεῖναι C. – δήξεται CKQ'θ, Ald., Lind. – δέξηται D. – δέξεται GHIJ. – δήξηται vulg. – συμμ. Cθ. – ἐπιτεν (sic) pro ἔπειτα θ. — [8] χλωραὶ Cθ. – νόσου K. – γίγν. C. — [9] τρισκαιδέκατον J. – περὶ ῥόου λευκοῦ θ. – ῥόος λευκὸς Cθ. – λευκὸς ὁ ῥοῦς vulg. – ὡς pro οἷον

14. (*Déplacement de la matrice.*) Si les matrices sont au milieu des lombes, la douleur se fait sentir au bas-ventre, et, plus tard, aux jambes ; quand la malade va à la selle, les douleurs sont plus aiguës ; les selles ne sortent qu'à grand'peine ; l'urine coule goutte à goutte, et il y a lipothymie. Les choses étant ainsi, attachez un tuyau à une vessie, et insufflez les matrices. Puis, donnez un bain de vapeur, ou lavez avec beaucoup d'eau chaude. Aux parties génitales, on fera une fumigation fétide ; aux narines, une fumigation aromatique. Quand la douleur a cessé, on fait boire de l'eau de lentilles, et, ensuite, un vomitif qui ne mettra pas le ventre en mouvement. Les matrices étant remises à leur place, on administrera un médicament qui évacue par le bas, et, ensuite, du lait. Puis on fera aux matrices une fumigation de vin; on prendra la préparation au laurier et on l'appliquera en pessaire; elle n'est pas irritante; on y mêle du vinaigre; ensuite on fera une fumigation aromatique. Cette maladie rend les femmes stériles et boiteuses.

15. (*Leucorrhée.*) Quand il y a leucorrhée, le flux est comme de l'urine d'âne ; la douleur tient le bas-ventre, les lombes et les flancs ; les jambes et les bras s'œdématient ; le dessous des yeux se gonfle, les yeux sont humides ; la couleur est ictérique et blafarde, et la marche cause de l'essoufflement. Cette maladie survient quand la femme, étant naturellement pituiteuse, a la fièvre et que la bile mise en mouvement n'est pas évacuée ; si le ventre est acide, ce sont des diarrhées qui apparaissent ; si la fluxion se porte sur les matrices, c'est la leucorrhée. Quand il y a leucorrhée, pilez quantité égale d'écorce de pavot blanc et de pavot rouge, pilez le fruit de l'épine (*acacia*) dans du

Lind. – ὄνου Cθ, Vaticana exempl. ap. Foes, Lind. – ὄνου om. vulg. – ἐνφαίνεται θ. – ἴσχει Cθ. – νιαιρὰν θ. – νειαιρὴν Lind. – νείαιραν vulg. – νειαίραν C. – νειαίρην D. – νειέραν H. – τοὺς om. Cθ. — [10] τε om. Cθ. – κοῖλα vulg. – Voy. plus haut, p. 324, note 8. – ἰκτεριώδης J. – γίγν. Cθ. — [11] καὶ om. J. – ἀσθενεῖ θ. – γίγν. C. – οὐ ἂν pro ἦν C. – φύση θ. – φλεγματώδη FG. – πυρεταίνῃ Frob., Lind. — [12] χολὴ I. – κοινηθεῖσα μὴ καθαρὸν C. – ἢ Cθ. – ᾗ om. vulg. – ὀξαίη D. – γίγν. C. — [13] δ' ἐς θ. – ἐς C. – ῥόες C. – γίνονται C. – γίνηται G, Ald., Frob. – ἐνγίνεται θ. — [14] διάῤῥοια vulg. – Il faut lire ῥόος.

κωνος [1]λευκῆς τὸ λέπυρον, τὸ ἴσον τῆς πυῤῥᾶς, ἀκάνθης τὸν καρπὸν τρίβων ἐν οἴνῳ κεχρημένῳ, ἄλφιτα ἐπιβαλὼν ποταίνια πινέτω· ἢν δὲ θέλῃς, [2]σίδην ἐς σποδὸν ἐγκρύψασα, ἐν οἴνῳ πινέτω, [3]ἄλφιτον ἴσον καὶ ἄλητον ἐπιβαλών· ὡς ἥκιστα δὲ λουέσθω· σιτίοισι δὲ χρήσθω ὡς ξηροτάτοισι καὶ ψυχροῖσιν· ἐπὴν δὲ παύσηται τὸ ῥεῦμα, φάρμακον [4]πῖσαι, ὑφ' οὗ τὰ ἄνω καθαίρεται, καὶ γάλα ὄνειον πινέτω· [5]ἐπὴν δὲ τὰ κάτω καθαρθῇ, βόειον γάλα πινέτω ἐπὶ τεσσαράκοντα ἡμέρας, ἢν δύνηται, [6]καὶ ἐξαιθριάσασα ἄκρητον, μίσγουσα ὕδατι τὸ τέταρτον μέρος· [7]ἑσπέρης δὲ ἐπὴν ἐκπίῃ, ῥοφείτω χόνδρον· ἐπὴν δὲ γένηται δεκαταίη, [8]ἀφαιρέειν τοῦ γάλακτος τὴν δεκάτην μοίρην [9]καὶ τοῦ ὕδατος· ὅσον δ' ἂν ἀφέλῃς, τοσοῦτον χλιεροῦ ἄρτι ἠμελγμένου πινέτω τὴν μοίρην, [10]τὴν δὲ αὔριον δύο μοίρας, ὡς ἐν τῇσι δέκα μοίρῃσιν [11]εἶναι ἀντὶ κεχρημένου ἄκρητον, καὶ ἐπὶ δέκα ἡμέρας πίνειν ἀφαιρέων τὸ δέκατον μέρος, καὶ τοῦ ῥοφήματος προστιθέσθω πλεῖον· ἐπὴν δὲ γένηται εἰκοσταίη, [ἀφαιρέειν τοῦ ἀκρήτου μοίρην ἐπὶ δέκα ἡμέρας· ἐπὴν δὲ γένηται τριακοσταίη,] πίνουσα τὴν δεκάτην [12]μοίρην τοῦ γάλακτος, ὑποχέων τρίτην ὕδατος μοίρην, πινέτω δέκα ἡμέρας, καὶ σιτίοισι χρήσθω· [13]καὶ οὕτω γίνονται αἱ ξύμπασαι ἡμέραι τεσσαράκοντα.

16. [14]Ἕτερος ῥόος· ἐπὴν διαβάλῃ τοὺς τόκους φύσει εὔτοκος ἐοῦσα, τὸ μὲν πρῶτον ἐπιλείπει τὰ ἐμμήνια, ἢ γίνεται ἐλάσσω, καὶ

[1] Λευκοῦ FGHJ. – τῶν πυρῶν pro τῆς πυρρας J. – καὶ (καὶ om. CHθ) ἀκάνθης vulg. – ἐπιβάλλων C. – ποταίνια Cθ, Lind. – ποταίνεια vulg. — [2] εἰδέναι σπόδον ἐγκύψασα pro σίδην ἐς σπόδον ἐγκρύψασα C (θ, ἰδεῖν ἐς σπόδον ἐγκρύψασα). – ἐς πόδον F. — [3] καὶ (καὶ om. Cθ) ἀλφ. vulg. – ἐπιβάλλων θ. – δὲ om. Cθ. – λούσθω θ. — [4] Post π. addit κάτω θ. – τὰ om. CDFH. – καθαρθῇ DFGHIJK. – καθαίραι (sic) Ald. – καθαραὶ (sic) C. – καθαραι (sic) θ. — [5] ἐπὴν.... πινέτω om. C. – τὰ om. GIJθ, Ald. – βοῖον θ. — [6] Ante καὶ addit μετὰ τὴν κάτω κάθαρσιν πινέτω βόειον γάλα C. – ἐξεθριάσασα Cθ. – ἐξαιθριάσας vulg. – ἄκρητον (ἀκρήτου Lind.) οἴνου vulg. – οἴνου om. Cornar. – Cette correction de Cornar. me semble indispensable. – μίσγων vulg. – Lisez μίσγουσα. — [7] ἑσπερίσας C. – δὲ om. C. — [8] ἀφαιρέην θ. – μοῖραν C. – μοίραν θ. — [9] καὶ.... μοίρην om. C. – ὅσον δὲ ἀφ. vulg. – ὅσον δ' ἂν ἀφ. θ. – τοσοῦτο θ. – χλιαροῦ θ, Lind. – ἠλμεγμένου FGIK. – ἀνειμένου θ. – μοῖραν vulg. – μοίρην DHIJK. — [10] τὸ C. – τῇ GHI. – δὲ om. C. – μοῖρας pro μοίρας C. – δεκάτῃσι pro δέκα C. — [11] εἶναι ἀντὶ ὀλίγου (addunt καὶ Cθ) κεχρημένου ἄκρητον (ἄκρατον Cθ) καὶ ἐπὶ τέσσαρας ἡμέρας πίνειν ἀφαιρέων τὸ δέκατον μέρος, καὶ τοῦ ῥοφήματος προστίθεσθαι (προστιθέσθω CDFGIJKθ, Ald.) πλεῖον· ἐπὴν δὲ γένηται τεσσαρεσκαιδεκαταίη (τεσσαρασ-

vin coupé d'eau, ajoutez de la polenta fraîche, et faites boire; si vous aimez mieux, mettez une grenade sous la cendre, et faites-la boire dans du vin, après y avoir jeté partie égale de farine d'orge et de blé. La femme se baignera très-peu. Elle usera des aliments les plus secs et froids. Le flux ayant cessé, faites boire un médicament qui évacue par le haut, et prescrivez le lait d'ânesse. Quand les voies inférieures sont purgées, la femme boira du lait de vache pendant quarante jours, si elle peut; le lait pur aura été exposé au serein, puis on y ajoute un quart d'eau. Le soir, après avoir bu tout son lait, elle aura pour potage du gruau. Arrivée au dixième jour, elle retranchera la dixième partie du mélange de lait et d'eau; et autant elle aura retranché, autant elle boira de lait chaud, trait récemment. Le lendemain, elle boira deux parts de ce lait, de manière que dans les dix parties il y ait du lait pur au lieu de lait coupé; et pendant dix jours elle retranchera la dixième partie, ajoutant toujours au potage; arrivée au vingtième jour, elle retranchera une part du lait pur pendant dix jours; enfin, arrivée au trentième, elle boira la dixième partie du lait avec un tiers d'eau pendant dix jours, et prendra des aliments. Ce qui fera en tout quarante jours.

16. (*Métrorrhagie à la suite d'avortements.*) Autre écoulement : quand la femme, étant naturellement féconde, a des

καιδεκαταίῃ G), πίνουσα vulg. - Ce texte de vulg. ne peut subsister; les jours qui y sont énoncés ne sont que vingt-quatre; et il en faut quarante. C'est d'après ce calcul que j'ai fait les corrections et additions. Ὀλίγου de vulg. n'a pas non plus de sens; je l'ai supprimé, ne sachant quelle est la vraie leçon cachée dessous. Dix jours au lait coupé d'un quart d'eau; dix en diminuant le lait coupé et augmentant le lait pur d'une partie; dix jours en diminuant le lait pur; dix jours au lait coupé d'un tiers. — [12] μοίρην (bis) DHIJK.- μοῖραν (bis) vulg.- μοίραν (bis) θ, Ald.- σίτοισι Cθ.— [13] καὶ om. Cθ.- οὔτω DJ.- οὔτως vulg.- ὧδε Cθ.- γίγν. C.- γίνωνται Lind.- αἱ om. Cθ.- ἡμέραι om. Cθ.- πεντήκοντα CDGHIθ.- ν vulg.- τεσσαράκοντα Cornar., Lind. - La correction de Cornarius paraît devoir être acceptée. — [14] τεσσαρεσκαιδέκατον J.- περὶ ῥόου ἑτέρου θ.- ἕτερος ῥόος CFHIJθ.- ἕτ. ῥ. om. vulg.- διαβάλλῃ vulg.- διαβαίῃ D.- διαβαίνῃ Lind.- διαβάλῃ HIJKθ.- διαβαίνει Q'.- ἄτοκος vulg.- Il me semble que le sens exige εὔτοκος.- ἐπιλείπει K.- ὑπολείπει vulg.- ὑπολίπει θ.- ἔμμηνα Cθ.- ἐπιμήνια K.- καὶ γίνεται vulg.- Lisez ἤ.

τὸν χρόνον ὑπερβάλλει ἐν ᾧ [1] ἐγίνετο πρόσθεν· ἔπειτα ἐξαπίνης ἐγένετο πολλὰ καὶ καθαρὰ καὶ ἰσχυρά· καὶ ἢν μέν οἱ ἅπαξ [2] γενόμενα ἔῃ, τὸ λοιπὸν κατὰ λόγον ἐν γαστρὶ ἴσχει· ἢν δὲ μὴ, τὸ [3] μὲν πρῶτον γίνεται καὶ δεύτερον καὶ τρίτον τοῦ μηνός· ἔπειτα τελευτήσει ἐξ ἑωυτοῦ ὁ ῥόος, [4] καὶ ὠχρή τε καὶ λεπτὴ γίνεται. [5] Ὅταν ὧδε γένηται, φάρμακον χρὴ πιπίσκειν καὶ ἄνω καὶ κάτω, καὶ γάλα μεταπιπίσκειν ὄνειον ἢ ὀῤῥόν· ἔπειτα μετὰ ταῦτα πυριήσαντα καθῆραι τὰς ὑστέρας φαρμάκῳ [6] ὃ μὴ δήξεται, ἔπειτα κλύσαι [7] τῷ σὺν τῷ ὄξει· ἔπειτα ὑποθυμιῆσαι τοῖσιν ἀρώμασι. Ποιέειν δὲ ταῦτα, ὅκως τῇ προτέρῃ τῶν ἐπιμηνίων ᾖ πεποιημένα· καὶ μὴ γένηται ἀλουτοῦσα καὶ ἀσιτοῦσα· κυκεῶνα ἄναλτον παχὺν πίνουσα ὑποθυμιήσθω τοῖσιν ἀρώμασι, νέτωπον περιχέασα καὶ μύρον ῥόδινον· ἔπειτα τῷ ἀνδρὶ ξυνίτω.

17. [8] Ἢν αἱ κοτυληδόνες φλέγματος περίπλεαι γένωνται, τὰ [9] μὲν ἐπιμήνια γίνεται, καὶ ἐν γαστρὶ ἴσχει, διαφθείρει δὲ, ἐπὴν ἰσχυρότερον τὸ ἔμβρυον γένηται· [10] οὐ γὰρ δύναται ἴσχειν, ἀλλ' ἀποῤῥήγνυται. Γνοίης δὲ ὧδε· ὑγρὴ [11] γίνεται, καὶ ἀποῤῥέει μυξῶδες καὶ γλίσχρον, καὶ οὐ δάκνει, [12] καὶ τοῖσιν ἐμμηνίοισιν, ἐπὴν παύσηται τοῦ ῥεύματος, καὶ δύο ἡμερέων καὶ τριῶν μύξαι ἔρχονται [13] ἀπὸ τῶν ὑστερέων. Ταύτην δεῖ κλύσαι τῷ ἀπὸ τῶν ὀλύνθων, καὶ δὶς ἢ τρὶς μετακλύσας στρυφνοῖσι τὸ λοιπὸν προστιθέναι, ὑφ' οὗ καθαίρεται φλέγμα, καὶ τὰ μαλθακὰ πυριῆν, καὶ κλύζειν μετὰ τὰ προσθετὰ, ἴσον τὸ ὄξος μίσγων, καὶ ὑποθυμιῆν ἐν τοῖσιν ἐπιμηνίοισι [14] τοῖσιν

[1] Ἐγίγνετο C. – ἐγίνετο θ. – ἐγένετο vulg. — [2] γενόμεναι DGHI. – γινόμεναι J. – εἴη (ᾖ DJ; ἢ GHIK) vulg. — [3] μὲν Cθ. – μὲν om. vulg. – γίγν. C. – ἔξω pro ἐξ ἑωυτοῦ C (θ, ἔξεο sic). — [4] καὶ Cθ. – καὶ om. vulg. – γίγν. θ. — [5] ὅταν ὧδε γένηται Cθ, Vaticana exempl. ap. Foes. – ὅταν ὧδε γ. om. vulg. – φάρμ. οὖν (οὖν om. Cθ) (μὲν οὖν K) vulg. – ἄνω τε pro καὶ ἄνω C. – καὶ ἄνω τε καὶ κ. θ. – ὀρὸν Cθ. – πυριήσασα J. — [6] ὢ C. – δήξεται Cθ, Lind. – δέξηται DG. – δήξηται vulg. — [7] τῶ Cθ. – τῷ om. vulg. – πεποιημένω C. – πεπληρωμένα DHQ', Lind. – ἀλουτοῦσα om. Cθ. – ἀλουτέουσα Lind. – καὶ Codd., Ald., Frob., Lind. – καὶ om. vulg. – ἀσιτέουσα Lind. – ἄναλτον κυκ. C. – κυκεῶνα [δὲ] Lind. – παχὺ C. – πίνουσα καὶ (καὶ om. Cθ) vulg. – ὑποθυμιείσθω vulg. – ὑποθυμιήσθω CDHIKθ. – μῦρον Ald., Frob., Lind. – ῥόδινον μύρον θ. – συνίτω C. – συνείτω θ. — [8] πεντεκαιδέκατον J. – περὶ τοῦ ἐν ταῖς κοτυλήδοσι φλέγματος διαγνωτε (sic) αὐτοῦ καὶ συμπτωμάτων θεράπεια θ. — [9] μὲν om. C. – ἐμμήνια CIJK. – ἔμμηνα θ. – καλῶς ἐπιγίνονται (ἐπιγίνωνται Ald.) vulg. – γίγνεται sine καλῶς C (θ, γίνεται). – [οὐ] καλῶς ἐπιγίνονται, καὶ ἢν ἐν

avortements, d'abord les règles manquent ou diminuent, et tardent plus qu'elles ne faisaient auparavant; puis tout à coup elles reparaissent abondantes, pures et avec force. Si cela n'arrive qu'une fois, elle devient du reste enceinte régulièrement. Dans le cas contraire, les règles d'abord se montrent dans le mois une seconde et une troisième fois; puis le flux s'arrête de soi-même, et la femme devient jaune et maigre. Les choses étant ainsi, on fera boire un médicament qui évacue par le haut et par le bas; puis prendre du lait d'ânesse ou du petit-lait. Cela fait, on administre une fumigation, et l'on purge les matrices avec un médicament qui ne soit pas irritant; ensuite on fait des injections au vinaigre, suivies de fumigations aromatiques. On prescrira cela de manière que le tout soit fait la veille des règles. La femme ne restera ni sans bains ni sans aliments; prenant un cycéon sans sel et épais, elle fera la fumigation aromatique, où entreront le netopon et le parfum de roses. Puis elle s'unira à son mari.

17. (*Humidité de la matrice, et avortements qui s'ensuivent.*) Si les cotylédons se remplissent de phlegme (Aph., v, 45), les règles viennent, à la vérité, et la femme conçoit, mais elle avorte quand grossit le fœtus, qui ne peut être retenu et se rompt. Vous connaîtrez ainsi cet état : la femme devient humide; elle a un écoulement muqueux et visqueux, qui n'est pas âcre; lors des règles, l'écoulement ayant cessé, des mucosités viennent de la matrice pendant deux ou trois jours. On fera des injections avec l'eau de figues vertes; puis, ayant fait deux ou trois fois des injections avec les astringents, on appliquera du reste un pessaire qui mondifie le phlegme; on fera des fumigations douces, et des injections après les pessaires avec un mélange égal d'eau et de vinaigre,

γαστρὶ ἔχῃ Foes in not., Lind. – ἰσχυρότερον om. C. — [10] ὅταν pro οὐ γὰρ C. — [11] γίγν. C. – ἀπορρέῃ Cθ. — [12] καὶ [σὺν] τοῖσιν Lind. – ἐμμήνοισιν Dθ. – ῥεύματος καθαιρομένη (καθ. om. C) vulg. – μῦξαι C. — [13] καὶ (καὶ om. θ, Lind.) ἀπὸ vulg. – δεῖ om. C. – ὀλόνθων θ. – ὀλίνθων DH. – ὀλονόων (sic) C. – καὶ pro ἢ CDGJ, Ald. – στριφνοῖσι C. – στιφροῖσι θ. – φλέγματα C. — [14] καὶ τοῖσιν J. – συνευδέτω Cθ. – συνευνάσθω DHIJK. – τῷ om. C.

ἀρώμασι· ἔπειτα δὲ ἀσιτέουσα καὶ ἀλουτέουσα συνευναζέσθω τῷ ἀνδρί.

18. [1]Ὁκόταν τὰ ἐπιμήνια κρυφθῇ, ὀδύνη ἴσχει τὴν νειαίρην γαστέρα, καὶ δοκέει ἐπικεῖσθαί οἱ βάρος, καὶ τὰς ἰξύας πονέει καὶ τοὺς κενεῶνας· ὁκόταν δὲ πρὸς τὰ ὑποχόνδρια προσπέσωσι, [2]πνίγουσι, καὶ ἐμεῖ πυκινὰ ὀξέα, καὶ ἐπὴν ἀπεμέσῃ, ῥήϊον ἴσχει ὀλίγον χρόνον· [3]ἡ δὲ ὀδύνη καὶ ἐς τὴν κεφαλὴν καὶ ἐς τὸν τράχηλον φοιτᾷ. [4]Ἐπὴν μὲν λίην προσεστήκῃ, χλιάσματα προστιθέναι, καὶ ὑποθυμιῆν [5]κακώδεα, καὶ πίνειν διδόναι τὸν κάστορα καὶ τὴν κόνυζαν· [6]ἐπὴν δὲ κάτω, ὑποθυμιῆν τὰ κακώδεα, ὑπὸ δὲ τὰς ῥῖνας [7]τὰ εὐώδεα. Ἐπὴν δὲ παύσωνται αἱ ὀδύναι, φάρμακον δοῦναι πιεῖν, καὶ μεταπιπίσκειν γάλα ὄνου· ἔπειτα διδόναι χυμὸν, ἀφ' οὗ ἐμεῖται, καὶ πρὸς τὰς ῥῖνας προστιθέναι· ἐπὴν δὲ καθήρῃς, πυριήσας [8]τὰς ὑστέρας τοῖσι ξὺν τῇ δάφνῃ, προσθεῖναι τὸ [9]ξὺν τῇ ναρκίσσῳ· τρὶς δὲ διαλιπὼν πυρίης, προσθεῖναι τὸ ξὺν τῇ κανθαρίδι· τῇ δὲ ὑστεραίῃ στέαρ χήνειον· ἔπειτα διαλιπὼν τρεῖς ἡμέρας, [10]κλύσαι τῷ ξὺν τῷ ὄξει. Ἐν δὲ τοῖσι καθαρμοῖσιν ἐσθιέτω τὴν λινόζωστιν πρὸ τῶν σιτίων, καὶ σιτίοισι μαλθακωτάτοισι χρήσθω, καὶ [11]τὰ δριμέα τρωγέτω, καὶ λουέσθω θερμῷ δὶς τῆς ἡμέρης. Ἢν δὲ μὴ γίνηται [12]τὰ ἐπιμήνια, ταῦτα ποιήσαντα ἐν τῷ δέοντι χρόνῳ, πῖσαι κανθαρίδας, καὶ ἐπὴν γένηται, νηστεύσασα [13]καὶ ἀλουτήσασα καὶ ὑποθυμιήσασα, πρὸς τὸν ἄνδρα ἴτω.

19. [14]Ὁκόταν ἐν γαστρὶ ἔχουσα διαφθείρῃ τὸ ἔμβρυον μηνιαῖον

[1] Ἑκκαιδέκατον J. – περὶ ἐπιμηνίων κρύψεως συμπτωμάτων καὶ θεράπεια θ. – ὅταν J. – τὰ om. D. – ἔχει J. – νειαίραν C. – νείεραν H. – νείαιραν IK. – νειαιρὴν Lind. – οἱ post δοκέει Cθ. – προσπέσωσιν [αἱ ὕστεραι] Lind. — [2] Ante πν. addit κεφαλὴν ὀδύνη καὶ G. – πνίγουσι, καὶ ἐπὴν πυκνὰ ὀξέα ἀπεμέσῃ, ῥάων γίνεται vulg. – πνίγουσι, καὶ ἐπίπυκνα ὀξέα καὶ ἐπὴν ἀπεμέσῃ, ῥέον ἴσχει C. – πνίγουσι, καὶ ἐμεῖ πυκινὰ ὀξέα, καὶ ἐπὴν ἀπεμέσῃ, ῥήϊον ἴσχει θ. — [3] ἀλλὰ καὶ ἐς τὴν κεφαλὴν ὀδύνη pro ἡ δὲ ὀδ. κ. ἐς. τ. κ. DFHIJK. – καὶ ἐς τὴν κ. ὀδύνη καὶ ἐς τὸν τρ. φοιτᾷ Cθ. – καὶ ἐς τὴν κεφ. om. G. — [4] ἐπὴν οὖν (οὖν om. C) μέλλῃ, ἢν προσεστήκῃ (ἢ pro ἢν προσ. Lind.) vulg. – ἐπὴν μὲν λίην προσεστήκῃ θ. — [5] κακώδεα, κάτω δὲ εὐώδεα (κάτω δὲ εὐ. om. C) vulg. – κόρυζαν C. — [6] ἐπὴν.... εὐώδεα om. C. – κάτω [φοιτᾷ] Lind. — [7] τὰ om. K. – αἱ om. C. – ὄνου om. C. – χῦμον C. – αἱμεῖται C. – καθήρῃς θ. – καθάρῃς vulg. — [8] τὰς ὑστέρας τοῖσι om. C. – σὺν Cθ. — [9] σὺν Cθ. – τρὶς θ. – τρεῖς vulg. – δὲ om. Cθ. – πυρίας vulg. – πυριήσας θ. – πυρίῃς C. – σὺν Cθ. – χήνιον θ. — [10] καῦσαι C. – σὺν Cθ. – λινόζωστιν CD. – λινοζῶστιν vulg. – πρὸς C. – σίτοισι Cθ. — [11] τὰ Cθ. – τὰ om. vulg. – ἡμέρας J. – γέ-

et on dirigera sur les parties, pendant les règles, des vapeurs aromatiques. Puis, à jeun et sans bain, la femme s'unira à son mari.

18. (*Suppression des règles.*) Quand les règles sont supprimées, la douleur tient le bas-ventre, il semble à la femme qu'elle a un poids, elle souffre dans les lombes et dans les flancs. Si les règles se portent aux hypochondres, elles causent de la suffocation. La femme vomit souvent des matières acides, et, après le vomissement, elle se trouve mieux un peu de temps. La douleur se porte aussi à la tête et au cou. Quand elle se fait sentir avec force, on prescrit des applications chaudes; par en bas des fumigations fétides; on donne à boire le castoréum et la conyza. Si la douleur se porte en bas, on fait par en bas des fumigations fétides, et, sous les narines, des fumigations aromatiques. Les douleurs ayant cessé, on fait boire un évacuant, et ensuite du lait d'ânesse. Puis on donne une des décoctions (*de lentille ou autre*) avec lesquelles on vomit, et on applique des errhins. La mondification étant faite, ayant dirigé sur les matrices la fumigation où entre le laurier, on met le pessaire au narcisse; après une interruption de trois jours dans les fumigations, le pessaire à la cantharide; le lendemain, de la graisse d'oie; puis, après une interruption de trois jours, l'injection au vinaigre. Pendant ces purgations, la femme mangera la mercuriale avant les repas, usera d'aliments émollients, mangera des choses excitantes, et se lavera deux fois par jour à l'eau chaude. Si les règles ne paraissent pas, bien que vous ayez fait tout cela en temps utile, faites boire les cantharides; et, quand les règles sont venues, la femme, à jeun, sans bain, et après une fumigation par en bas, s'unira à son mari.

19. (*Avortement. Donner, pour l'empêcher, de l'embonpoint à la femme.*) Quand la femme ayant conçu avorte à un mois

νηται C. — [12] τὰ CKθ. - τὰ om. vulg. — [13] καὶ ἀλ. om. Cθ. - ἐπιθυμήσασα C. - συνευνάσθω τῷ ἀνδρὶ vulg. - πρὸς τὸν ἄνδρα ἴτω C (θ, εἴτω). — [14] ἕτερον Cθ. - ἄλλο H. - ἑπτακαιδέκατον J.

[1] καὶ διμηνιαῖον, καὶ ἐκφέρειν μὴ δύνηται, καὶ λεπτὴ παρὰ φύσιν γίνηται, ταύτην χρὴ [2] καθήραντα καὶ τὰς ὑστέρας τὸ σῶμα παχῦναι· οὐ γὰρ δυνήσεται πρότερον διενέγκαι, ἔστ' ἂν [3] αὐτῆς παχεῖαι γένωνται αἱ ὑστέραι καὶ ἰσχύσωσιν.

20. [4] Ἢν δὲ παχυνθῇ παρὰ φύσιν, οὐκ ἴσχει ἐν γαστρί· τὸ γὰρ ἐπίπλοον ἐπικείμενον πουλὺ [5] καὶ παχὺ ἀποπιέζει τὰς ὑστέρας, καὶ τὴν γονὴν οὐκ εἰσδέχεται. Ταύτην χρὴ λεπτύναντα φάρμακον πῖσαι κάτω, καὶ πρὸς τὰς ὑστέρας προσθεῖναι, [6] ὅ τι καθαίρει αὐτὰς καὶ φύσας οὐκ ἐμποιεῖ.

21. [7] Ἢν δὲ τὸ στόμα τῶν ὑστερέων σκληρὸν γένηται ἢ ὁ αὐχὴν, τὸν δάκτυλον παρεισάγων, γνώσῃ, καὶ ἐπὴν πρὸς τὸ ἰσχίον ἔωσιν ἀπεστραμμέναι. Ὅταν ὧδε ἔχῃ, μηδὲν προσφέρειν [8] δεινόν· ἢν γὰρ ἐξελκώσῃς τὸ στόμα, ἐπὴν φλεγμήνῃ, κίνδυνος τὸ πάμπαν ἄτοκον γενέσθαι· ἀλλὰ προστιθέναι ἃ μὴ δάκνει, ὑφ' ὧν καθαίρεται.

22. [9] Ἢν γυναῖκα μὴ δυναμένην τεκεῖν ἐθέλῃς καθῆραι, καὶ ᾖ χολώδης ἢ φλεγματώδης, [10] γνώσῃ τῷδε ὁκότερον ἂν ᾖ μᾶλλον· ψάμμον ὑποβάλλων, ἐπὴν τὰ ἐπιμήνια γένηται, ἐν τῷ ἡλίῳ ἐπιχέας τὸ αἷμα, ἐᾷν ξηρανθῆναι· [11] καὶ ἢν μὲν χολώδης ᾖ, ἐπάνω τῆς ψάμμου ἔσται [12] τὸ αἷμα ὠχρὸν, ἢν δὲ φλεγματώδης, οἷον μύξα· καὶ δὴ ὁκότερον ἂν ἔῃ καθήρας κάτω, [13] πρὸς τὰς ὑστέρας προσθεῖναι προσθετά.

[1] Καὶ δ. om. C (DH, restit. al. manu) FGIJKθ. – γίγν. C. – δεῖ C. — [2] καθήραντα καὶ τὰς ὑστέρας πρὸς τὸ στόμα· οὐ γὰρ δύνησεται vulg. – καθήραντα τὸ στόμα παχῦναι τὰς ὑστέρας· οὐ γὰρ δυνήσεται Lind. – καθῆραι καὶ τὰς ὑστέρας τὸ σῶμα παχῦναι δυνήσεται C. – καθήραντα καὶ τὰς ὑστέρας τὸ σῶμα ἁπαλῦναι (sic)· οὐ γὰρ δυνήσεται θ. – διενέγκε (sic) θ. — [3] αὐτῇ (αὔτη θ) παχεία γένηται ἡ ὑστέρη Cθ. — [4] ἐπὴν δὲ γένηται, ἢν παχυνθῇ C. – ἐπιπλοῖον θ. – πολὺ Cθ. — [5] καὶ CJθ. – καὶ om. vulg. – ἐνδέχεται Cθ, Ald. – ἐσδέχεται Q'. – εἰσδέχονται Foes in not. – ἐνδέχονται Lind. — [6] Ante ὅ τι addit θήσειν δὲ τὰς ὑστέρας C. – καθαίρει C. – καθαρεῖται θ. – καθαίρεται vulg. – αὐτὰς om. Cθ. – φύσσας J. – οὐκ om. Cornar., Foes in not. – ἐνθήσει pro ἐμποιεῖ Cθ. — [7] ὀκτωκαιδέκατον J. – περὶ σκληριάσεως στόματος μήτρης ἢ αὐχένος σημειώσεως καὶ θεράπεια θ. – τὸ CFKθ. – τὸ om. vulg. – ὑστεραίων C. – στερεὸν γένηται καὶ ξηρὸν C. – παρεισάγων CDFGIK, Ald., Frob. – παρεισάγουσα θ. – προσάγων vulg. – γνώσεται Cθ. – ἐῶσιν Cθ. — [8] δεινὸν Cθ. – δριμὺ vulg. – ἐξελκύσῃς J. – σῶμα pro στόμα Cθ. – φλεγμήνῃ CDIJKθ, Ald., Frob., Lind. – φλεγμαίνῃ vulg. – δάκνῃ H. – καθαίρηται vulg. – καθαίρεται CDGIJKθ, Frob. — [9] ἐνναχαιδέκατον J. – εἰ pro ἢ D. – ἢ pro ᾖ H. – ἢν pro ᾖ Jθ. – χολώδη J. – χολώδης τε ἢ C (θ, ἢ). – φλεγματώδη J. — [10] γνώσῃ δὲ τούτων ὁκότερον (ὁκοτερα J), ἢν ψάμμον vulg. – γνώσῃ τῷδε ὁκότερον ἢν ἡ μᾶλλον ψάμμον C (θ, δὲ, non τῷδε) (Vaticana exempl. ap. Foes, ὧδε non

ou à deux, ne peut amener l'enfant à terme, et tombe en une maigreur qui n'est pas naturelle (Aph., v, 44), il faut, après avoir, chez elle aussi, purgé les matrices, procurer l'embonpoint; car elle ne pourra pas aller à terme si les matrices ne prennent de l'embonpoint et de la force.

20. (*Excès d'embonpoint empêchant la conception.*) Si la femme a un embonpoint exagéré, elle ne devient pas enceinte; en effet, l'épiploon abondant et épais s'applique sur les matrices, les presse (Aph., v, 46), et elles ne reçoivent pas le sperme. En ce cas, il faut atténuer la femme et lui prescrire un médicament qui évacue par le bas; on appliquera un pessaire qui mondifie les matrices sans y produire de l'air.

21. (*Dureté du col utérin. Obliquité.*) Si l'orifice utérin ou le col deviennent durs, vous reconnaîtrez cet état en introduisant le doigt, de même que la déviation de la matrice vers la hanche. Les choses étant ainsi, n'appliquez rien d'actif; car, si vous ulcérez l'orifice après inflammation, il est à craindre que la femme ne puisse plus absolument avoir d'enfant. Mais on appliquera ce qui, sans être irritant, procure la mondification.

22. (*Moyen de reconnaître si une femme est bilieuse ou pituiteuse, afin de la prédisposer à la conception.*) Si vous voulez mondifier une femme qui ne peut avoir d'enfant, voyez si elle est bilieuse ou pituiteuse. Vous reconnaîtrez laquelle des deux dispositions prédomine, à ceci : jetez du sable au soleil, versez sur ce sable du sang des règles, et laissez-le sécher; si elle est bilieuse, le sang sera jaune au-dessus du sable; si elle est pituiteuse, il y aura comme une mucosité. Cela reconnu, vous évacuerez par le bas celle des deux humeurs qui prédomine, et vous appliquerez des pessaires.

τῶδε, et ἂν non ἦν). – ὑποβαλὼν C. – ὑπ. om. θ. – ἔμμηνα Cθ. – γένηται Cθ. – γένωνται vulg. – Post ἡλίῳ addit [τῇ ψάμμῳ] Lind. – ἐᾷς Lind. — [11] καὶ om. C. – καὶ [γὰρ] ἦν Lind. — [12] τὸ αἷμα om. Cθ. – ὠχρὰ Cθ. – μύξαι D, Lind. – καὶ δὴ om. Cθ. – δεῖ pro δὴ DH. – ἦν pro ἂν Cθ. – εἴη (εἴη om. θ; ἤ C) vulg. – Ante κάτω addunt τὴν κοιλίην C (H, al. manu) θ, Vaticana exempl. ap. Foes, Lind. — [13] πρὸς Cθ, Vatic. exempl. ap. Foes. – πρὸ Lind. – περὶ vulg. – προσθεῖναι Cθ. – ἐπιθεῖναι vulg. – πρόσθετα Lind.

23. [1] Ἢν τὰ ἐπιμήνια παντάπασι μὴ γίνηται, ἢν μὲν ὑπὸ πόνου ᾖ, πρῶτον μὲν τὴν κοιλίην καθῆραι κάτω, ἔπειτα προσθεῖναι, ὑφ' οὗ αἷμα καθαίρεται [2] ἐκ τῶν ὑστερέων· ἔπειτα διαλιπὼν ἡμέρην μίην ἢ δύο, ὑφ' οὗ αἷμα καθαίρεται προσθεῖναι· τὸν δὲ ἄλλον χρόνον [3] τὸν φλοιὸν πινέτω τοῦ κρήθμου ἐν οἴνῳ τρίψασα.

24. [4] Ἢν ὑγρότερον τοῦ καιροῦ τὸ στόμα τῶν ὑστερέων ᾖ, προστιθέναι τὰ δριμέα, ὅκως δηχθῇ, καὶ φλεγμῆναν σκληρὸν γένηται. Ἢν [5] δὲ σκιῤῥωθῇ, τὰ δριμέα προσφέρειν· δάκνοντα γὰρ διαχεῖ τὸν ἰχῶρα· ἔπειτα μαλθακὰ προστιθέναι· [6] ἐς δὲ τἄλλα νουσήματα ὡς ἥκιστα προστιθέναι.

25. [7] Ἢν ἐς τὸ ἰσχίον λεχοῖ καταστηρίξωσιν αἱ ὑστέραι ἢ ἐς τὸν κενεῶνα, [8] προστίθεσθαι χρὴ πρὸς τὸ ὑγιὲς ἰσχίον ἔλαιον Αἰγύπτιον λευκὸν ἢ βακκάριον, καὶ ἐπὶ τὸ ὑγιὲς ἰσχίον κατακείσθω, καὶ πινέτω γλυκυσίδης κόκκους πέντε τοὺς μέλανας, καὶ ἀκτῆς καρπὸν ὅσον [9] χηραμίδα, καὶ κάστορος ὅσον κύαμον ἐν οἴνῳ· ἔπειτα λουσαμένη θυμιήσθω, καὶ τοῖσι πότοισι καὶ σιτίοισι χρήσθω μαλθακοῖσι, καὶ λινοζώστει, καὶ τοῖσι δριμέσι πᾶσι χωρὶς ῥαφάνου καὶ κρομμύων.

26. [10] Ὁκόταν πνίγωσιν αἱ ὑστέραι, ὑποθυμιῆν χρὴ τὰ κακώδεα πάντα ὑπὸ τὰς ῥῖνας, ἄσφαλτον, θεῖον, κέρας, ἐλλύχνιον, φώκης ἔλαιον, καστόριον· ὑπὸ δὲ τὰ αἰδοῖα τὰ εὐώδεα.

[1] Εἰκοστὸν J. – ἢν [δὲ] Lind. – γίγνηται C. – γένηται θ. – γίνωνται vulg. – νουη (sic) pro πόνου ᾖ C. – On pourrait ajouter παχέα après ᾖ; ce mot est donné par le passage parallèle du premier livre des Maladies des Femmes; toutefois notre texte s'entend. — [2] ἐκ.... προσθεῖναι om. (D, restit. al. manu) G (H, restit. tantum ἐκ τῶν ὑστ.). – ἡμέραν CIJK. – μίαν CIJθ. – καθαίρηται Lind. – Post καθ. addunt ἐκ τῶν ὑστερέων Vaticana exempl. ap. Foes. – προσθεῖναί ante ὑφ' IJK, Lind. – δ' Cθ. — [3] τὸν om. Ald. – κρηθμοῦ vulg. – κριθίνου DFGHIJK. — [4] εἰκοστὸν πρῶτον J. – πρὸς ὑγρότερον στόμα θ. – ὑστέρων (sic) G, Ald., Frob. – δαχθῇ θ. – σκληρὸν λίην (λίην om. θ) vulg. – γίνεται J. — [5] δὲ om. Cθ. – πρὸς κηρον (sic) in marg. θ. – σκιρωθῇ IKθ. – σκυρωθῇ G, Ald. – σκυῤῥωθῇ Frob. – σκληρωθῇ C. – τὰ δὲ δρ. C. – δάκνοντα ἃ διαχεῖ C (θ, δειάχει sic). – σκύρρον pro ἰχῶρα L. – σκίῤῥον Lind. — [6] εἰς vulg. – ἐς D, Lind. – πρὸς θ. – ἐς.... προστιθέναι om. C. – τὰ ἄλλα DHIJKθ. – νοσ. θ. – οὐχ (ὡς θ, Lind.) ἥκιστα vulg. — [7] εἰκοστὸν δεύτερον J. – ἢν δὲ τὸ vulg. – ἢν ἐς τὸ Cθ. – ἢν δ' ἐς τὸ (H, al. manu), (Lind., δέ). – λέχοι DGHIJ, Ald., Frob. – καταστηρίζουσιν DK. – καταστηρίξουσιν GI. – αἵ τε (τε om. CHθ, Lind.) vulg. – ἢ ἐς Cθ, (Lind. εἰς). – εἰς (ἐς DHK) sine ἢ vulg. — [8] προστιθέναι θ. – ἢ βακκ. om. Cθ. – καταχείσθω GIJK, Ald. – κόκκους πέντε τοὺς μέλανας Cθ. – κόκκους τ. μ. πέντε vulg. — [9] χηραμύδα CD

23. (*Absence des règles.*) Si les règles ne viennent pas absolument, dans le cas où la souffrance en est la cause, d'abord on évacuera le ventre par le bas, puis on mettra un pessaire emménagogue; ensuite, après une interruption d'un jour ou deux, un pessaire emménagogue. Le reste du temps, la malade boira l'écorce du crethmos (*crithmum maritimum*, L.) pilée dans du vin.

24. (*Orifice utérin, trop humide, trop dur.*) Si l'orifice des utérus est plus humide qu'il ne convient, on appliquera les substances âcres afin qu'elles mordent et qu'enflammant l'orifice elles le durcissent. S'il est devenu squirrheux, on appliquera les substances âcres; car, mordant, elles fondent l'humeur; puis on les remplace par les émollients. Dans les autres maladies il faut se servir aussi peu que possible des substances âcres.

25. (*Déviation de la matrice chez une nouvelle accouchée.*) Si, chez une nouvelle accouchée, les matrices se fixent vers la hanche ou vers le flanc, on appliquera sur la hanche saine de l'huile blanche d'Égypte ou de baccaris (*voy.* § 6); la femme sera couchée sur la hanche saine; elle prendra en breuvage cinq grains noirs de la pivoine, le fruit du sureau plein une conque, et du castoréum gros comme une fève dans du vin. Puis, s'étant baignée, elle recevra une fumigation aromatique; elle usera des boissons et des aliments émollients, de la mercuriale et de tous les aliments âcres, excepté les raiforts et les oignons.

26. (*Hystérie.*) Si les matrices causent de la suffocation, il faut faire, sous les narines, une fumigation avec toutes les substances fétides : asphalte, soufre, corne, mèche de lampe, huile de veau marin, castoréum; et, aux parties génitales, une fumigation aromatique.

GHIθ, Ald., Frob. – καστόριον C. – ὅκου pro ὅσον C. – κύαμος C. – ποτοῖσι C. – καὶ σιτ. om. CJ. – σίτοισι DGIθ. – λινόζωστι Cθ. – λινόζωστιν DI. – λινοζῶστιν GHK. – κρομμύου θ. – κρόμμυα C. — [10] ὁπόταν C. – πνιγῶσιν Cθ. – ὑπὸ τὰς ῥίνας θ. – ὑ. τ. ῥ. om. vulg. – ἤγουν (ἤγουν om. Cθ) ἄσφαλτον vulg.

27. Ἢν [1]δὲ λεχοῖ αἱ ὑστέραι φλεγμήνωσι, πίμπραται καὶ πνὶξ ἔχει. Ὁκόταν [2]ὧδε ἔχῃ, [3]παρατείνας ὀθόνιον βρύα θαλάσσια λεπτὰ καταπλάσσειν· ἔπειτα ὠμήλυσιν καὶ σποδὸν κληματίνην καὶ λίνου σπέρμα, ὄξος καὶ ἔλαιον [4]ἐπιχέας, ἑψεῖν ἕως ἂν οἷόν περ σταῖς γένηται· ἔπειτα καταπλάσαι, ἣν θερμοτέρῳ δύνηται ἀνέχεσθαι, τὴν νείαιραν γαστέρα.

28. Ἢν δὲ [5]πεπήγωσι, φακοὺς ἑψήσας ἐν ὄξει καὶ ἡδυόσμῳ πολλῷ, ἕλκειν τὴν ἀτμίδα ἐς τὸ στόμα καὶ τὰς ῥῖνας προσίσχειν, καὶ [6]τὰ κακώδεα ὑποθυμιῆν, καὶ λινόζωστιν ἐσθίειν· καὶ ἐν τῷ χυλῷ ἄλητον ἑφθὸν ῥοφείτω· [7]ὅτι τάχιστά τε καὶ πρὶν ἢ τὴν ὀδύνην ἔχειν, πρότερον χρὴ διδόναι τῶν φαρμάκων ὅσα τὰς ὑστέρας παύει τῆς ὀδύνης· καὶ σιτία διαχωρητικὰ προσφερέσθω· ἢν δὲ ἡ γαστὴρ [8]θερμαίνηται, ὑποκλύσαι.

29. [9]Ἢν ἐκ τόκου φλεγμήνωσιν αἱ μῆτραι, στρύχνου χυλὸν ἐγχέαι ἐς τὰ αἰδοῖα, καὶ ἐπὴν οὗτος θερμὸς γένηται, ἕτερον ἐγχεῖν· [10]ἢν δὲ μὴ ᾖ, σχίνου ἢ ῥάμνου ἢ τεύτλου. [11]Ἕτερον· κολοκύντης χυλὸν ἐκπιέσας ἔγχεον, καὶ αὐτῆς [12]τὸ ἐν μέσῳ τὸ ἁπαλώτατον περιξύσας μακρὸν ἔνθες. Ὕστερον [13]ὕδατι ψιμύθιον τρίβων, ἐν εἰρίῳ ἀνασπογγίζων, πρόσθες· ἢν δὲ φρίσσῃ, ἀφαιρέειν. Ἢν γυνὴ [14]ἀσθενέῃ ἀπὸ ὑστερέων, καὶ χολαὶ αὐτὴν πνίγωσι, καὶ δέῃ αὐτὴν καθῆραι κούφως

vulg. – σικύης De Morb. Mul., I, Lind. – τὸν αὐτὸν τρ. om. DFGHIJK. – προστίθει D (H, ἔνθες) Q', Lind. – πρ. om. vulg. — [12] ἕτερον CHθ. – ἕτ. om. vulg. – κικίδα CDHJK. – πλείστου C. – συμμ. Jθ. – σμύξας (sic) C. – προσθῆναι C. – προσθεῖναι θ. — [13] ἕτερον θ. – ἕτ. om. vulg. – τοῦ.... προσθεῖναι om. (D, restit. al. manu) FGHIJ. – κοδρίου θ. – κομίου Ald. – κονδρίου Vaticana exempl. ap. Foes in not. – χονδρίου ἢ τὴν κεφ. καθαίρει C. – κυκλαμίνου dans le passage parallèle, Des Maladies des Femmes, I, Cornar. – προστίθει C. — [14] ἕτερον CHθ. – σμύραν (sic) J. – ἅλας CJ, Lind. – ἅλες vulg. – χολὴ H. – ταῦτα om. Cθ. – ἐς ῥάκος ἐνθετὰ (sic) C (ἐνθέντα θ). – ἐνθέντα (ἐνθέτα sic D) πρὸς ῥάκος vulg.

ῥάκος ἔνθετα προσθεῖναι. [1]Ἕτερον· κόκκους ἐκλέξας ὅσον τριήκοντα, καὶ τρίμματα μηδικοῦ φαρμάκου τοῦ τῶν ὀφθαλμῶν ὃ καλεῖται πέπερι, καὶ τοῦ στρογγύλου ὃ καλεῖται, ταῦτα τὰ τρία τρίβων ἐν οἴνῳ παλαιῷ, [2]λεῖα διεὶς, γλυκεῖ ἐλαίῳ ἀναφυρέων, περὶ τὸ εἰρίον περιθεὶς, προσθέσθω, καὶ διανιζέσθω οὔρῳ. [3]Ἕτερον· τιθυμάλου ὀπὸν μέλιτι φυρήσας, ἐς ῥάκος ἐνθεὶς, προστιθέναι. [4]Ἕτερον· σκίλλης ῥίζαν ὅσον ἑξαδάκτυλον καθελίξας τοὺς δύο δακτύλους, ἐρίῳ πρόσθες. Ἕτερα [5]μαλθακτικὰ, ὑφ᾽ ὧν καθαίρεται ὕδωρ καὶ αἷμα, ἐπιμήνιά τε ἄγονται, ἢν μὴ πουλυχρόνια ᾖ, καὶ τὸ στόμα μαλθάσσεται· ναρκίσσινον, κύμινον Αἰθιοπικὸν, λιβανωτὸν, ἀψίνθιον, κύπειρον, τῶν μὲν ἄλλων ἴσον ἑκάστου, τοῦ δὲ ναρκισσίνου μοίρας τέσσαρας, ἐπικτένιον ὠμόλινον ξυμμίξας, ταῦτα τρίψας, καὶ ποιήσας βάλανον, προστίθει. [6]Ἕτερον· κυκλαμίνου μέγεθος ὅσον ἀστραγάλου, καὶ ἄνθος χαλκοῦ ὅσον κύαμον τρίψας, καὶ μέλιτι δεύσας, καλῶς ποιήσας βάλανον, προστιθέναι. [7]Ἕτερον· γλήχωνα, σμύρναν, λιβανωτὸν, ὑὸς χολὴν, μέλιτι φυρήσας, καὶ ποιήσας βάλανον, προστιθέναι. [8]Ἕτερα στρυφνά· ῥοῦν οἴνῳ μέλανι φυρήσας, προσθεῖναι. [9]Ἕτερον· κνίκον τὸν αὐτὸν τρόπον ποιήσας, προστίθει. [10]Ἕτερον· λωτοῦ πρίσματα τὸν αὐτὸν τρόπον ποιέειν. [11]Ἕτερον· ῥοῦν μέλιτι μίξας, προσ-

[1] Ἕτερον CHθ. – ἕτ. om. vulg. – κόκκους ἐκλέξας (ἐκλέψας De Morb. Mul., II; ἐκλάψας Erot., p. 166; ἐκδέξασθαι C) οἷον (ὅσον C) τριάκοντα (τριήκ. DH) καὶ τρίμματα (τρίμμα C) μηδικοῦ (ἐνδικοῦ sic L) φαρμάκου τὸ τῶν ὀφθαλμῶν ὃ καλεῖται πέπερι (πέρι, D al. manu πέπερι, FGIK), καὶ τῶν στρογγύλων ἕτερα. ταῦτα τὰ τρία τρίβων (ἕτερα τρία ταῦτα τρίβων C) vulg. – Foes lit : κόκκους ἐκλέψας ὅσον τρεῖς ἰνδικοῦ φαρμάκου, τοῦ τῶν ὀφθαλμῶν, ὃ καλεῖται πέπερι, καὶ τῶν στρογγύλων ἕτερα τρία; il se règle sur le passage parallèle. – Lind. a : κόκκους ἐκλέψας ὅσον τριάκοντα, καὶ τρία ἰνδικοῦ φαρμάκου, τοῦ ἐκ τῶν λοβῶν, ὃ καλεῖται [μακρὸν] πέπερι, καὶ τῶν στρογγύλων ἕτερα [τρία]· ταῦτα τὰ τρία τρίβων; il se règle en partie sur Cornarius, en partie sur Dioscoride. – Le ms. θ a : κόκκους ἐκλέξας ὅσον τριάκοντα καὶ τριμαηδικου (sic) φαρμάκου, τὸ τῶν ὀφθαλμῶν, ὃ καλεῖται πέπερι, καὶ τῶν στρογγύλων ὁ (sic) καλεῖται· τρία ταῦτα τρίβων. – Je n'ai pas osé faire de grands changements ni conformer ce passage-ci sur le passage parallèle des Mal. des Femmes, II; je me suis contenté de lire τοῦ τῶν au lieu de τὸ τῶν, de prendre τοῦ στρογγύλου, et de recevoir ὃ καλεῖται de θ, au lieu de ἕτερα. — [2] λία θ. – ἐρίῳ pro ἐλαίῳ CDHIJKθ, Ald. – ἀναφυρῶν C. – προσθείσθω CD. – προστιθέσθω θ. — [3] ἕτερον CHθ. – ἕτ. om. vulg. – τιθυμάλλου CJθ. – ἐνθεὶς ἐς ῥ. DQ', Lind. — [4] ἕτερον Cθ. – ἕτ. om. vulg. – ἑξακακτυλον (sic) θ. – κατελλίξας C. – κατελίξας vulg. – καθελίξας D. – ἐρίῳ om. C. — [5] μαλθακὰ Cθ. – μαλθακτήρια DQ', Lind. – καὶ ἐπιμήνια ἄξει εἰ μὴ Cθ.

grains de poivre décortiqués, des raclures du médicament médique qui est destiné aux yeux et qu'on nomme poivre, et de celui qu'on nomme rond, pilez ces trois ingrédients dans du vin vieux qui sert à délayer, pétrissez avec de l'huile douce, mettez dans la laine, appliquez en pessaire et faites laver avec de l'urine. Autre : pétrissez du suc de tithymalle et du miel, mettez dans un linge et appliquez. Autre : prenez une racine de scille longue de six doigts, enveloppez-en deux doigts dans la laine et appliquez. Autres, qui sont émollients, qui purgent l'eau et le sang, amènent les règles si la suppression n'en est pas ancienne, et ramollissent l'orifice utérin : prenez huile de narcisse, cumin d'Éthiopie, encens, absinthe, cypirus (*cyperus rotundus*), de chaque parties égales, excepté de l'huile de narcisse, dont il y aura quatre parties, mêlez de l'étoupe de lin écru, broyez, faites un pessaire et appliquez. Autre : prenez du cyclamen gros comme un osselet, de la fleur de cuivre gros comme une fève, pilez, trempez avec du miel, faites un pessaire et appliquez. Autre : prenez du pouliot, de la myrrhe, de l'encens, de la bile de porc, pétrissez avec du miel, faites un pessaire, appliquez. Autres, astringents : pétrissez du sumac avec du vin noir et appliquez. Autre : faites de même avec le cnicus (*carthamus tinctorius*, L.) et appliquez. Autre : faites de même avec la sciure de lotus et appliquez. Autre : mêlez du sumac avec du miel et appliquez. Autres, émollients : prenez soufre,

– ἄγοντα Lind. – πολύχρονα vulg. – πολυχρόνια DIJK, Lind. – πουλυχρόνια H. – πολυχρόνιον sine ἢ C. – τε ἢ D. – εἰ pro ἢ θ. – μαλθάσσει Cθ. – ναρκίσσιον CG. – ναρκίσινον Ald. – κύπερον JK. – κύπαιρον Iθ. – ναρκισσίου C. – ἐπ' ὀθόνιον vulg. – Il faut lire ἐπικτένιον d'après le passage parallèle du premier livre des Maladies des Femmes. Gal. Gl. : ἐπικτένιον.... ἐπὶ δὲ τοῦ στυπείου ἢ τοῦ λίνου. τὸν τῷ κτενὶ προσιζάνοντα χνοῦν ἐν τῇ ἐργασίᾳ. – συμμ. Cθ. – ξυμμίξειν (sic) Ald. – ταύτας C. – προσθεῖναι Cθ. — [6] ἕτερον CHK. – ἕτ. vulg. – καλῶς om. Cθ. – ποι. βάλ. om. C. – προσθεῖναι Cθ. — [7] ἕτερον CHθ. – ἕτ. om. vulg. – γλίχωνα CHJ. – σμύραν (sic) C. – προσθεῖναι C. — [8] ἕτερα.... προσθεῖναι om. K. – ἕτ. στ. om. Ald. – στριφνὰ θ. — [9] ἕτερον CHθ. – ἕτ. om. vulg. – κνῆκον θ. — [10] ἕτερον Hθ. – ἕτ. om. vulg. – ἕτερον.... γένοιτο p. 378, l. 20, om. C. — [11] ἕτερον Hθ. – ἕτ. om. vulg. – ἕτερον μαλκακτικόν (sic) J.

θεῖναι. [1]Ἕτερα μαλθακτήρια· θεῖον, στέαρ, ᾠοῦ λέκιθον, ἄλητον, μέλιτι φυρήσας, ταῦτα παραχλιαίνων, τὸ ἀποστάζον εἰρίῳ πρόσθες. [2]Ἕτερον· χηνὸς ἔλαιον καὶ στέαρ μήλειον, κηρὸν λευκὸν, ῥητίνην, μύρον ῥόδινον, ῥάκος κατατίλας λεπτὸν, προστίθει. [3]Ἕτερον· ἐλάφου μυελὸν καὶ στέαρ τήξας ἐν εἰρίῳ πρόσθες. [4]Ἕτερον· στέαρ ὄϊος ἢ αἰγὸς καὶ ᾠοῦ τὸ λευκὸν ῥοδίνῳ μύρῳ ἀναφυρήσας, εἰρίῳ ἀνασπογγίσας, πρόσθες.

33. [5]Κλυσμοί· ὀλύνθους τοὺς χειμερινοὺς ἐμβαλὼν, ἑψεῖν ἐν ὕδατι ὑποκαίων ἡσυχῇ, ἔπειτα ἀποχέας, ἔλαιόν τε ἐπιχέων, κλύζειν· μετακλύζειν δὲ σιδίοισι καὶ κηκίδι καὶ λωτοῦ πρίσμασιν, ἐν οἴνῳ ἑψῶν στρυφνῷ, ἀποχέων δὲ κλύζειν. [6]Ἕτερον· τρύγα κατακαίων ἐς ὕδωρ βάλλε, ἔπειτα τῷ ὕδατι κλύζειν, μετακλύζειν δὲ σιδίοις, μύρτοις, ῥοῦ φύλλοις, ἀφεψῶν ἐν οἴνῳ. [7]Ἕτερον· σχίνου φύλλα, ἐλελισφάκου, ὑπερικοῦ ἑψήσας ἐν οἴνῳ μέλανι· ἢν ἑλκωθῇ δέ τι τῶν μητρέων, βούτυρον, λιβανωτὸν, σμύρναν, ῥητίνην ὀλίγην, τουτέοισι χρὴ κλύζειν. [8]Ἕτερον· πράσα ἑψήσας ἐν ὕδατι, ἀποχέων δὲ ὕδωρ, οἴνῳ μίξας, κλύζε. Ἀκτῆς καρπὸν, [9]ἄνισον, λιβανωτὸν, σμύρναν, οἶνον, τῷ χυλῷ τουτέων κλύζειν. [10]Ἕτερον· κράμβην ἑψήσας ἐν ὕδατι, ἐν τῷ χυλῷ τῆς κράμβης ἕψε τὴν λινόζωστιν, παρεμβάλλων λίνου σπέρμα μικρόν· ἔπειτα ἀποχέας κλύζε. [11]Ἕτερον· σμύρνης ὅσον ὀξύβαφον, λιβανωτὸν, σέσελι, ἄνισον, λίνου σπέρμα, νέτωπον, ῥητίνην, μέλι, χηνὸς ἔλαιον, ὄξος λευκὸν, τὸ Αἰγύπτιον,

[1] Ἕτερον μαλακτικὸν D (J, sine μ.). – μαλθακτικὰ K. – θῖον θ. – λέκυθον, emend. al. manu D. – παραχλιένων θ. — [2] ἕτερον Kθ. – ἕτ. om. vulg. – μήλιον θ. – μῦρον D. – κατατίλλας D. – κατατίλας J. – κατατείλας vulg. – πρόσθες θ. — [3] ἕτερον K. – ἕτ. om. vulg. – ἕτερον.... πρόσθες om. θ. — [4] ἕτερον θ. – ἕτ. om. vulg. – ἕτερον.... πρόσθες om. (D, restit. al. manu) FGHIJK. – μύρω ἀναποιήσας εἰρίω ἀνασπ.. εἰρίω πρόσθες θ. — [5] κλυσμὸς J. – ὀλίνθους H. – ὀλόνθους Iθ. – ἀποχέας [ὕδωρ] Lind. – τε om. θ. – κυκίδι vulg. – κικίδι DGHJ, Ald., Frob. – κηκίδι IKθ. – ἐν οἴ. μέλανι ἑ. στριφνῷ θ. — [6] ἕτερον Kθ. – ἕτ. om. vulg. – ἔμβαλλε θ. – βάλε DHIK. – μετακλύζειν.... οἴνῳ om. θ. — [7] ἕτερον Kθ. – ἕτ. om. vulg. – σκίλλου vulg. – σχίνου DFHIJKθ, Ald., Lind. – ἢν δὲ ἑλκ. DH. – τι om. FHIJK, Ald. – ἢν ἑλκωθῇ τὸ στόμα τῶν μητρέων, in marg. πρὸς ἕλκωσιν τοῦ στομίου τῆς μήτρης θ. — [8] (ἕτερον θ) γαστέρα (γαστρην sic θ; γαστὴρ HK; ἀστὴρ F; γ. om. Ald.) ἑψῶν ἐν ὕδατι, ἀποχέων δὲ (τε pro δὲ D) (τὸ Jθ, Ald.) ὕδωρ, οἴνω μίξας κλύζε (κλῦσαι Ald.)· (ἕτερον θ) πράσα ἑψήσας ἐν ὕδατι pro ἕτερον.... κλύζε DFHIJKθ, Ald. — [9] ἄνισον DHJ. – ἄννησον GI, Ald., Lind. – ἄνησον vulg. – χυλῷ DJ, Lind. – χυμῷ vulg. – τουτέων DHIJK. – τούτων vulg. — [10] ἕτερον Kθ. – ἕτ. om. vulg. – χυλῷ

graisse, jaune d'œuf, farine, pétrissez avec du miel, chauffez légèrement, recevez sur de la laine ce qui dégoutte, et appliquez. Autre : prenez de la graisse d'oie, de la graisse de mouton, de la cire blanche, de la résine, du parfum de rose, faites de la charpie fine et appliquez. Autre : prenez de la moelle et de la graisse de cerf, faites fondre et appliquez dans de la laine. Autre : prenez de la graisse de mouton ou de chèvre et du blanc d'œuf, pétrissez avec du parfum de rose, épongez avec de la laine et appliquez.

33. (*Injections.*) Injections : prenez les figues vertes d'hiver, faites-les cuire dans l'eau à un feu doux, transvasez, ajoutez de l'huile et injectez; faites suivre l'injection par celle-ci : prenez écorces de grenades, noix de galle, sciure de lotus, faites cuire dans du vin astringent, transvasez et injectez. Autre : brûlez de la lie, jetez dans de l'eau, puis faites l'injection avec l'eau ; l'injection sera suivie de celle-ci : prenez écorces de grenades, baies de myrte, feuilles de sumac, faites cuire dans du vin et injectez. Autre : prenez feuilles de lentisque, de sauge, d'hypericum, faites cuire dans du vin noir ; mais, si quelque partie des matrices est ulcérée, prenez beurre, encens, myrrhe, un peu de résine : c'est avec cela qu'il faut faire l'injection. Autre : faites cuire des porreaux dans de l'eau, transvasez, mêlez du vin, injectez. Prenez graine de sureau, anis, encens, myrrhe, vin, faites l'injection avec la décoction de ces substances. Autre : faites cuire un chou dans de l'eau, et de la mercuriale dans cette eau de chou, ajoutez un peu de graine de lin, transvasez, injectez. Autre : prenez un oxybaphe (*oxybaphe*=0^litre^,068) de myrrhe, de l'encens, du séséli, de l'anis, de la graine de lin, du nétopon (*huile d'amandes amères*), de la résine, du miel, de la graisse d'oie, du vinaigre blanc, du parfum égyptien, de chaque partie égale, pilez, mouillez avec deux cotyles de vin

D, Lind. – χυμῷ vulg. – λινόζωστιν Dθ. – λινοζῶστιν vulg. – παρεμβ. ponitur post μικρὸν J. – λινούσπερμα θ. — [11] ἕτερον Kθ. – ἕτ. om. vulg. – ὀξόβαφον θ. – ἄννησον vulg. – ἄννησσον θ. – ἄνησον K. – ἄνισον DHJ. – λινόσπερμα (sic) θ.

τουτέων ἑκάστου τὸ ἴσον τρίψας, [1] διεῖναι οἴνου λευκοῦ κοτύλαις δυσίν· ἔπειτα χλιερῷ κλύζειν. [2] Ἕτερον· λινόζωστιν ἐν ὕδατι ἑψήσας, ἀπηθήσας, σμύρνης ὀξύβαφον, λιβανωτοῦ, νετώπου, ἴσον ἑκάστου μίξας, χλιερῷ κλύζειν. [3] Ἕτερον· ἐλελίσφακον καὶ ὑπερικὸν ἐν ὕδατι ἑψήσας, τῷ ὕδατι κλύζε. [4] Ἕτερον· ἀκτῆς καρπὸν, δαφνίδας, ἑκατέρου τὸ ἴσον, ἐν οἴνῳ ἕψε, ἔπειτα τῷ οἴνῳ κλύζε. [5] Ἕτερον· γλήχωνα ἐν ὕδατι ἑψήσας, ἔλαιον περιχέας, μεθ' ὕδατος κλύσον. [6] Ἕτερον· χηνὸς ἔλαιον, ῥητίνην ξυντήξας, κλύσον. [7] Ἕτερον· βούτυρον, κέδρινον ἔλαιον παραμίξας ὀλίγον, μέλιτι διατήξας ταῦτα, κλύσαι χλιερῷ. [8] Ἕτερον· κύπειρον, σχοῖνον, κάλαμον, ταῦτα ἴσα τῇ σμύρνῃ μίγνυται, σισύμβριον οἴνῳ ἑψῶν κλύζειν. [9] Ἕτερον· σελίνου καρπὸν, ἀνίσου, σεσέλιος σπέρμα, μελάνθιον οἴνῳ ἑψήσας, κλύζειν. [10] Ἕτερον· κέδρον κρητικὴν ἐν οἴνῳ ἑψήσας, κλύζε. [11] Ἕτερον· ἐχέτρωσιν καὶ σμύρναν διεὶς ἐν ὕδατι, κλύζε. [12] Ἕτερον· ἀργυρίου ἄνθος ἐν οἴνῳ καὶ ὕδατι κλύσαι. [13] Ἕτερον· ἐλατήριον ὅσον δύο πόσιας ὕδατι διεὶς, κλύσαι. [14] Ἕτερον· κολοκυνθίδας ἀγρίας δύο ἐν οἴνῳ ἢ γάλακτι ἐφθῷ ἀποβρέξας, ὅσον τέσσαρας, κοτύλας, ἀπηθήσας, κλύζε. [15] Ἕτερον· σικύης ἐντεριώνην ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατι κατύλαις τέσσαρσι, μέλι καὶ ἔλαιον ἐπιχέας, κλύσαι. [16] Ἕτερον· τῆς θαψίης ῥίζης ὅσον δύο πόσιας καὶ μέλι καὶ ἔλαιον, διεὶς ὕδατος κοτύλῃσι δυσὶ, κλύσαι. [17] Ἕτερον· ἐλλεβόρου ὅσον δύο πόσιας διεὶς οἴνῳ γλυκεῖ, ὅσον δύο κοτύλαις, κλύσαι χλιερῷ. [18] Ἕτερον· θλάσπιος ὅσον ὀξύβαφον μέλιτι παραμίξας, ὕδατος διεὶς ὅσον δύο κοτύλῃσι, κλυσαι χλιερῷ. [19] Ἕτερον· σι-

[1] Διειέναι θ. – χλιερῷ θ. – χλιαρῷ H. – χλιαρῶς vulg. — [2] ἕτερον Kθ. – ἕτ. om. vulg. – λινόζωστιν Dθ. – λινοζῶστιν vulg. – ὀξόβαφον θ. – ἕκαστον DFGJ. – χλιερῷ θ. – χλιηρῶς D. – χλιηρῷ H. – χλιαρῶς vulg. — [3] ἕτερον Kθ. – ἕτ. om. vulg. – ὑπερικὸν ἐν ὕδατι κλύζε vulg. – ὑπερικὸν ἐν ὕδατι ἑψήσας τῷ ὕδατι κλύζε θ. — [4] ἕτερον Kθ. – ἕτ. om. vulg. – ἑτέρου pro ἑκατέρου θ. — [5] ἕτερον θ. – ἕτ. om. vulg. – γλίχ. HJ. – ὕδατι pro μεθ' ὕδ. θ. — [6] ἕτερον θ. – ἕτ. om. vulg. – τῆξας (sic) θ. — [7] ἕτερον Hθ. – ἕτ. om. vulg. – ταῦτα κλύσαι χλιερῷ θ. – κλύσαι τούτοις χλιαρῶς (χλιηρῶς D; χλιηρῷ H) vulg. — [8] Ante ἕτ. addit ἀργυρίου ἄνθος ἐν οἴνῳ κλύσαι θ. – ἕτερον θ. – ἕτ. om. vulg. – κύπαιρον Iθ. – κύπερον HJK. – σχοίνον (sic) Ald., Frob. – σχῖνον DJK. – σχίνον H. – σχοίνου FG. – σμύρνα θ. – μίγν. om. G. – σύμβριον (sic) G, Ald. – σισίνιον ἐν οἴνῳ J. — [9] ἕτερον θ. – ἕτ. om. vulg. – ἕτ.... κλύζε om. K. – ἀνίσου DHJ. – καὶ ἀννήσσου θ. – ἀννήσου vulg. – ἐν οἴνῳ θ. — [10] ἕτερον θ. – ἕτ. om. vulg. – κρητικὸν J. – κέδρον.... ὕδατι κλύζε om. G. – κλύζειν D. — [11] ἕτερον θ. – ἕτ. om. vulg. – κλύσαι DFHIJKθ. — [12] ἕτερον H. – ἕτ. om. vulg. – ἕτ.... κλύσαι om. θ. – ἀργύρου D. – ὕδ. καὶ οἴνῳ J. — [13] ἕτερον θ. – ἕτ. om. vulg. –

blanc, injectez tiède. Autre . faites cuire de la mercuriale dans de l'eau, passez, ajoutez un oxybaphe de myrrhe, de l'encens et du nétopon, de chaque quantité égale, injectez tiède. Autre : faites cuire de la sauge et de l'hypéricon dans de l'eau, et injectez l'eau. Autre : prenez graine de sureau, baies de laurier, de chaque autant, faites cuire dans du vin, injectez le vin. Autre : faites cuire du pouliot dans de l'eau, ajoutez de l'huile, injectez avec l'eau. Autre : prenez de la graisse d'oie et de la résine, faites fondre et injectez. Autre : prenez du beurre, mêlez un peu d'huile de cèdre, faites fondre dans du miel, injectez tiède. Autre : prenez cypirus, jonc odorant, jonc, mêlez en quantité égale à la myrrhe, faites cuire du sisymbrion (*mentha aquatica*, d'après Fraas) dans du vin, et injectez. Autre : prenez graine de persil, d'anis et de séséli, mélanthion (*nielle*), faites cuire dans du vin, injectez. Autre : faites cuire du cèdre de Crète (*juniperus oxycedrus*, L.) dans du vin, et injectez. Autre : trempez dans de l'eau l'echetrosis (*bryonia cretica*, L.) et la myrrhe, et injectez. Autre : mettez de la fleur d'argent (*oxyde de plomb*) dans du vin et de l'eau, et injectez. Autre : prenez deux potions d'élatérion, délayez dans l'eau et injectez. Autre : trempez deux coloquintes sauvages dans quatre cotyles de vin ou de lait cuit, passez, injectez. Autre : prenez une pleine main du dedans de la courge, faites cuire dans quatre cotyles d'eau, ajoutez du miel et de l'huile, et injectez. Autre : prenez deux potions de racine de thapsie, du miel et de l'huile, délayez avec deux cotyles d'eau, injectez. Autre : prenez deux potions d'hellébore, délayez dans deux cotyles de vin doux et injectez tiède. Autre : prenez un oxybaphe de thlaspis

ἐλατηρίου Hθ. — [14] ἕτερον θ. – ἕτ. om. vulg. – κολοκυνθίδας θ. – κολοκυντίδας vulg. – κλύσαι FJKθ. — [15] ἕτερον θ. – ἕτ. om. vulg. – ἐντεριόνην H. – τέσσερσι θ. – καὶ om. Kθ. – καὶ ἔλ. om. J. — [16] ἕτερον θ. – ἕτ. om. vulg. – Post κλ. addit χλιερῶ θ. — [17] ἐλλεβόρου ὅσον δύο κοτύλας κλύσαι χλιαρῶς (χλιηρῶς DHJ) vulg. – ἕτερον· ἐλλεβόρου ὅσον δύο πόσιας διεὶς οἴνω γλυκεῖ, ὅσον δύο κοτύλαις κλύσαι χλιερῶ θ. — [18] ἕτερον θ. – ἕτ. om. vulg. – θλάσπιον vulg. – θλάσπιος θ, Lind. – ὀξύβαφον θ. – κοτύλας vulg. – κοτύλησι θ. – χλιαρῶς vulg. – χλιηρῶς DIK. – χλιηρῶ H. – χλιερῶ θ. — [19] ἕτερον θ. – ἕτ. om. vulg. – παλαιστὴ vulg. – παλαιστὴν DJKθ. – κοτύλαισι θ. – πέντε, μέλι ἔλαιον π. θ.

κύης ὅσον παλαιστὴν ἑψήσας ἐν ὕδατος κοτύλῃσι πέντε, ἔλαιον παραμίξας, κλύσαι. [1]Ἕτερον· κόκκους κνιδίους ὅσον ἑξήκοντα, μέλι, ἔλαιον ὑποδιεὶς, κλύσαι. [2]Ἕτερον· ἢν φύσει φλεγματώδης ᾖ· κνεώρου ποσὸν τρίψας, διεῖναι μελικρήτου κοτύλῃ αἰγινητικῇ, τουτέῳ κλύσαι· ἢν δὲ χολώδης ᾖ, [3]τῆς δάφνης ὅσον πόσιν, τῆς ἐδώδεος ὅσον δραχμήν. [4]Ἕτερον· σκαμμωνίης ὅσον πόσιν τρίψας, διεῖναι μελικρήτῳ ἢ ἀπὸ σταφίδος ὕδατι, ὅσον κοτύλῃ Ἀττικῇ. [5]Ἕτερον· δαφνοειδέος πόσιν κατὰ τὸν αὐτὸν λόγον, ἢν φύσει ᾖ χολώδης, τουτέῳ κλύσαι· ἢν δὲ φλεγματώδης, κόκκους ἐκλελεγμένους καὶ τοῦ τιθυμάλλου ὀποῦ ὅσον πόσιν κλύζειν ὡσαύτως· [6]κνεώρου καὶ μηκωνίου, ὡσαύτως ἑκατέρου τουτέων χρῆσθαι χρή. [7]Κλύζε δὲ, ἢν δέῃ, κλυσμῷ πλέον ἢ δυσὶ κοτύλαις.

34. [8]Ὑποθυμιήσεις δέ ἐστι κεκομμένα ταῦτα· κηκίδα θυμιῆν. [9]Πρίσματα λωτοῦ ἐλαίης φύλλοις ξηροῖς κεκομμένοις μίξας καὶ φυρήσας ἐλαίῳ, ὑποθυμιῆν. [10]Ἄνθρακας ὑποβαλὼν, κριθῶν ἄχυρα νοτερὰ [11]ἐπιβάλλων, ὑποθυμιῆν. [12]Ἀπ' ἀμφορέως ἐλαιηροῦ τὸ ἐπίθεμα, τὴν στοιβὴν ὑποκαίων, πρίσματα κυπαρίσσου ὑποβάλλων, θυμιῆν. [13]Σκαμμωνίην, σμύρναν, λιβανωτὸν, μύρον περιχέας, ὑποθυμιῆν. Ἄσφαλτον, κριθῶν ἄχυρα [14]ξυμμίξας, ὑποθυμιῆν. [15]Θεῖον ἐλαίῳ φώκης ἀναδεύσας, ὑποθυμιῆν. [16]Μελίην, κυπαρίσσου πρίσματα, κυπείρου ῥίζαν, μύ-

[1] Ἕτερον θ. – ἕτ. vulg. – [εἰς] μέλι [ἢ εἰς] ἔλ. [σὺν ὕδατι] ὑπ. Lind. — [2] ἕτερον θ. – ἕτ. om. vulg. – φύσι θ. – τρίψασα θ. – κοτύλην D. – αἰγινῇ vulg. – αἰγινήτου DQ'. – αἰγινητοῦ Lind. – αἰγινηῆ (sic) J. – αἰγεινῇ I. – αἰγινητικῇ θ. — [3] τῆς om. θ. – ποσὶ (sic) θ. – ὀδώδεος DFHIJK, Lind. – ἐδώδης n'est pas dans les lexiques; et, d'autre part, ὀδώδης est déclaré douteux par les lexicographes. — [4] ἕτερον θ. – ἕτ. om. vulg. – ποσὶ (sic) θ. – μελικρήτου DHIθ. – ἀττικὴ vulg. – ἀττικῇ θ. — [5] ἕτερον θ. – ἕτ. om. vulg. – ποσὶ θ. – τιθυμάλλου Jθ. — [6] (δὲ J) καὶ κνεωρίου vulg. – καὶ εωρου (sic) θ. – Au lieu de καὶ κνεωρίου de vulg., il faut utiliser la leçon de θ, pour lire κνεώρου. – [δὲ] ἑκατέρου Lind. — [7] κλύζειν DFHKθ. – δὲ ἢ κλυσμῷ πλέον vulg. – δὲ κλυσμῷ μὴ πλέον Foes in not., Lind. – δὲ ἣν δε ηι (sic) κλυσμῶ πλέον θ. – C'est sur le passage parallèle du premier livre des Maladies des Femmes que Foes a fait la correction et ajouté μή. Ce passage est ainsi conçu : κλύσαι δὲ δύο κοτύλῃσι τὸ πλεῖστον· πάντα δὲ τὰ κλύσματα μὴ πλέω τουτέου. A la vérité, le livre de la Nature de la Femme n'est qu'une compilation faite avec le traité des Maladies des Femmes; cependant, comme ces compilations (voy. pour le Mochlique, Argument, t. IV, p. 335) offrent quelquefois des remaniements, je n'ai pas voulu effacer ici la différence, et j'ai pris la leçon de θ. — [8] ὑποθυμιαμάτων Q'. – ὑποθυμιήσεσι διακεκομμένα γλυκέα pro ὑπ.... ταῦτα FGHIKθ, Ald. – ὑποθυμιήματα κεκομμένα γλυκέα DJ. – κηκίδα Iθ,

(*capsella bursa pastoris*), ajoutez du miel, délayez dans deux cotyles d'eau, injectez tiède. Autre : prenez une poignée de courge, faites cuire dans cinq cotyles d'eau, ajoutez de l'huile, injectez. Autre : prenez soixante grains de Gnide, faites macérer dans du miel et de l'huile, injectez. Autre : si la femme est pituiteuse, pilez un peu de cnéoron (*daphne tartonraira*, L.), délayez dans une cotyle éginétique de mélicrat, injectez ; si elle est bilieuse, prenez du laurier une potion, du laurier qu'on mange une drachme. Autre : prenez une potion de scammonée, pilez, délayez avec du mélicrat ou avec l'eau de raisin sec, à la dose d'une cotyle attique. Autre : préparez de même une potion de daphnoïde (*daphne laureola*, L.), si la femme est naturellement bilieuse, et injectez ; si elle est pituiteuse, prenez des grains de Gnide choisis, une potion de suc de tithymalle, et injectez semblablement ; servez-vous semblablement, soit du cnéoron, soit du méconion (*peplis*, *euphorbia peplis*). L'injection, s'il le faut, sera de plus de deux cotyles.

34. (*Fumigations.*) Fumigations : elles se font avec ces substances-ci pilées. Fumigation avec la noix de galle. Prenez sciure de lotus, feuilles sèches d'olivier pilées, mêlez, pétrissez avec de l'huile, faites une fumigation. Allumez des charbons, mettez de la paille humide d'orge dessus, et faites une fumigation. Prenez un couvercle d'amphore d'huile, allumez-y de la stœbé (*poterium spinosum*, L.), jetez-y de la sciure de cyprès, et faites une fumigation. Prenez scammonée, myrrhe, encens, parfum, et faites une fumigation. Mêlez de l'asphalte avec de la paille d'orge et faites une fumigation. Mêlez du soufre avec

Lind. – κικίδα vulg. — [9] καὶ (καὶ om. θ) πρ. vulg. — [10] ἄνθρακας.... ὑποθυμιῆν om. (D, restit. al. manu) FGIJK. – ὑποβάλλων θ. – ὑποκαίων pro ὑπ. Lind. — [11] ἐπιβάλλων Lind. – ὑποβάλλων vulg. – ὑποθυμιῶν θ. — [12] καπνίσματα DHIJKQ'. – ςθα παλαφορεως (sic) θ. – ἐπ' ἀμφ. ἐλ. τῷ ἐπιθέματι στοιβὴν ὑποκαίων legit Foes in not. – περίθεμα Lind. – πρίσματα FHIKθ, Lind. – πρίσματος vulg. – ἐπιβάλλων Lind. – ὑποβάλ. om. θ. — [13] σκαμωνίην θ. — [14] συμμ. θυμιῆν θ. — [15] ἔλαιον φώκης vulg. – θιον (sic) ἐλαίω φώκης θ. – Il faut prendre θεῖον. — [16] μέλι K. – κυπείρου D, Lind. – κυπέρου vulg. – κυπαίρου GIθ, Ald., Frob.

ρον ῥόδινον δεύσας, θυμιῆν. [1]Κάλαμον, κύπειρον, βρυωνίην, βρύον, σελίνου σπέρμασι ἄνισα μίξας ὁμοῦ καὶ μύρῳ ῥοδίνῳ δεύσας, ὑποθυμιῆν. Ῥητίνην [2]αὔην ἐπὶ σποδὸν ἐπιβάλλων, ὑποθυμιῆν. [3]Κιννάμωμον, σμύρναν, κασίην, ἴσον ἑκάστου, κρόκον μίσγοντα. Σμύρναν, τὸ βρύον ἴσον τῷ κρόκῳ. Κάλαμον, [4]κνέωρον, κρόκον, ῥόδων φύλλα ἐρυθρὰ τὰ ἡδὺ ὄζοντα τρίψας καὶ ξηρήνας, ξυμμίσγειν τῷ κρόκῳ καὶ στύρακα ἥμισυ τοῦ κρόκου, ταῦτα λεῖα ξυμμίξας καὶ ξηρήνας, μέλιτι ἑφθῷ δεύσας ὡς ἐλαχίστῳ, τουτέων δὲ πάντων [5]ξυμμεμιγμένων ἔστω ἡ θυμίησις, ὀδολὸς Ἀττικὸς σταθμός· ταῦτα θυμιῆν ἐπὶ βολβίτου· τὸ δὲ βολβιτον [6]πλάσσειν, οἷον ὀξύβαφον ἐλαιηρόν· τὸν πυθμένα δὲ ἐχέτω λεπτόν· ἔστω δὲ ξηρόν· [7]τὸ πῦρ δὲ ἔστω κληματινον, ἐφ' οὗ τὸ βόλβιτον κείσεται· ἐν τῷ ἐχίνῳ περιβάσα θυμιήσθω. [8]Χαλβάνην, ῥητίνην, μάνναν, μύρῳ ῥοδίνῳ δεύσας, ὑποθυμιῆν. [9]Πανάκεος καὶ κυπαρίσσου πρίσματα δεύσας μύρῳ Αἰγυπτίῳ λευκῷ θυμιῆν. [10]Κιννάμωμον καὶ νάρδον καὶ σμύρναν μύρῳ ῥοδίνῳ δεύσας ὑποθυμιῆν. [11]Λευκοΐου τὸν καρπὸν, κέδρου πρίσματα, καὶ χαλβάνην μέλιτι ἀναφυρήσας, ὑποθυμιῆν. Αἰγὸς [12]σπυράθους καὶ λαγωοῦ τρίχας ἐλαίῳ φώκης δεύσας, ὑποθυμιῆν. Φώκης τῆς [13]πιτύης τὸ δέρμα κόψας λεῖον καὶ σπόγγον καὶ βρύα ὁμοῦ λεῖα μίξας, τῷ ἐλαίῳ τῆς φώκης περιποιήσας, ὑποθυμιῆν. [14]Αἰγὸς σπυράθους καὶ φώκης πλεύμονα καὶ κέδρου πρίσματα ὑποθυμιῆν. [15]Βόλβιτον, κέρατος πρίσματα, καὶ ἄσφαλτον ὑποθυμιῆν. [16]Ἀκάνθης Αἰγυπτίης καρπὸν καὶ

[1] Κάλαμον.... ἐπιβάλλων ὑποθυμιῆν om. K. – κύπερον vulg. – κύπαιρον GIθ, Ald., Frob. – κύπειρον D, Lind. – σπέρμα Lind. – σπέρματι GIJ. – ἄννησα vulg. – ἀνίσου DHJ. – ἀννήσσω θ. — [2] μάννην pro αὔην DHQ', Lind. – ἐπίσποδον θ. – ὑποβάλλων DH. — [3] κιννάμ. DGHIJKθ, Ald. – κινάμ. vulg. – κασσίην DHK. – τάμισον pro μίσγοντα θ. – κόκκω θ. — [4] κνεώρου, κρόκου vulg. – κνέωρον, κρόκον Foes in not., Lind. – συμμ. Jθ. – στύρακος K. – λία θ. – συμμ. Jθ. – ξηράνας Ald. – Ante μέλιτι addit τῶ θ. — [5] συμμ. θ. — [6] πλάσσων D. – ὀξόβαφον θ. – πυόμενα (sic) pro πυθ. θ. — [7] τὸ δὲ πῦρ θ. – κλιμάτινον IK, Ald. – ἐν τῷ (τῷ om. Lind.) ἐκείνῳ (ἔχειν ῶ DFGIJK; ἐχίνω IIθ) περιβάσα (περιβάσαι FG, Ald.; περιβᾶσα D; περιβᾶσαι J) vulg. — [8] χαλβ. (sic) θ. – μάννιαν vulg. – μάνναν FHIK. – μάννην Lind. – σμύρναν pro μάν. J. — [9] πανάκεως vulg. – πανάκιος DJ. – πανάκεος HIKθ, Lind. – παν.... ὑποθυμιῆν om. G. — [10] κιννά. DHIJKθ. – κινά. vulg. – νάρδιον F. – νάρδινον J. — [11] Ante λ. addit ἕτερον θ. – λευ.... ὑποθυμιῆν om., restit. al. manu D. – κέδρου om. FGHIJK, Ald. – Post κέ. addit καὶ κυπαρίσσου θ. – καλβάνην θ. – θυμιῆν FIJK. — [12] πυράθους FG. — [13] πητύης K. – λίον θ. – βρῦα D. – λία θ. – μίξας KQ'. — [14] ἕτερον· αἰγ. θ. – φώκης τοῦ (τοῦ om.

de l'huile de veau marin et faites une fumigation. Prenez du frêne, de la sciure de cyprès, de la racine de cypirus, du parfum de rose, et faites une fumigation. Prenez le jonc, le cypirus, la bryone (*bryonia cretica*), le bryon (*zostera marina*), mêlez-y de l'anis et de la graine de persil, mouillez avec du parfum de rose, et faites une fumigation. Jetez de la résine sèche sur de la cendre chaude et faites une fumigation. Cinnamome, myrrhe et casia, de chaque autant, mêlez-y du safran. Myrrhe, bryon autant que de safran. Jonc, cnéoron, safran, feuilles rouges et suaves de roses; pilez, séchez, mêlez au safran la moitié de styrax; mêlez et séchez, mouillez avec très-peu de miel cuit; de tout cela, pour faire la fumigation, on prendra en poids une obole attique; la fumigation se fera sur la bouse de vache; la bouse sera arrangée en forme d'oxybaphe à huile; le fond en sera mince; cette bouse sera sèche; le feu sera de sarments de vigne sur lesquels la bouse sera posée; la femme, assise sur un grand chaudron, recevra la fumigation. Galbanum, résine, manne, mouillez avec du parfum de rose, faites la fumigation. Raclures de panaces et de cyprès, mouillez avec le parfum blanc d'Égypte, faites la fumigation. Cinnamome, nard, myrrhe, mouillez avec du parfum de rose, faites une fumigation. Graine de leucoïum (*viola odorata*), sciure de cèdre (*juniperus oxycedrus*), galbanum, pétrissez avec du miel, faites une fumigation. Crottes de chèvre, poil de lièvre, mouillez avec de l'huile de veau marin, faites une fumigation. Prenez la pellicule de la présure du veau marin, une éponge, du bryon (*zostera marina*), pilez, mêlez, pétrissez avec l'huile de veau marin, faites une fumigation. Crottes de chèvre, poumon de veau marin, sciure de cèdre (*juniperus oxycedrus*), faites une fumigation. Bouse de vache, raclures de corne, asphalte, faites une fumigation. Fruit de l'épine d'Égypte (*acacia vera*),

Lind.) πνεύμονος (πλ. 19) (πνεύμονα sine τοῦ L) vulg. — [15] βόλ.... ὑποθυμιῆν om. DGK. – βόλιτον θ. – κέδρου (κέρως H; κέρατος θ, Vaticana exempl. ap. Foes, Ald.; κέρους I) vulg. — [16] ἕτερον· ἀκ. θ. – τὸν καρπὸν D. – ξηρῆς vulg. – ξηρὰ ex libro de Morb. Mul., II. – λία θ. – μύρῳ (κύρῳ Ald. τε (τε om. DH) vulg. – ὑπὸ βαλσάμῳ FGIJ, Ald.

κέδρου πρίσματα καὶ μυρσίνης φύλλα ξηρὰ, ταῦτα ποιήσας λεῖα, μύρῳ ὀποβαλσάμῳ δεύσας, ὑποθυμιῆν. [1]Ἀρώματα ἐς μύρον ἐμβαλλόμενα ὑποθυμιῆν. Γίγαρτα κόψας [2]λεῖα, καὶ κεδρίδας, καὶ ῥητίνην πιτυΐνην ὁμοῦ μίξας, γλυκεῖ ἑφθῷ δεύσας, ὑποθυμιῆν. [3]Πυριῆσιν ἐς βόλβιτον κεκομμένον καὶ σεσησμένον, ὄξους τὸ ἥμισυ, ὀροβίου τὸ ἥμισυ ἐμβάλλων, πυριῆν βληχρῶς· ἐπὴν δὲ πυριήσῃς, [4]φάκιον πιπίσκειν, καὶ ἀπεμεῖν, καὶ ῥοφῆν δοῦναι ἄλητον, καὶ ἐπιπίνειν οἶνον· τῇ δ' ὑστεραίῃ [5]κόκκον δοῦναι καταπότον, τῇ δὲ ἑτέρῃ διουρητικόν. Ἐρεβίνθους λευκοὺς δύο τρίψας, τῆς δὲ σταφίδος τρίτον, ἐπιχέας ἥμισυ ὕδατος, ἑνεψεῖν, ἔπειτα ἀποχέας, ἐς τὴν αἰθρίην θεῖναι, καὶ τῇ ὑστεραίῃ δοῦναι [6]πίνειν, καὶ τὸ λοιπὸν ἐλελίσφακον καὶ τοῦ λίνου σπέρμα τουτέοις ἀμφοτέροις μίξας καὶ ἄλφιτον, διδόναι δὶς τῆς ἡμέρης ἐν οἴνῳ κεχρημένῳ κοτύλῃσι [7]τέσσαρσιν. Ἐλαίου τρία ἡμικοτύλια, [8]ἀκτῆς φύλλα ὅσον χεῖρα πλείην, ταῦτα ἑψεῖν ἐγχέας ἐς κρατήριον θερμὸν, πυριῆν ὀστράκοις θερμοῖς, ἐπὶ δίφρου ἐπικαθίσας, περικαλύψας τε ἱματίοις. Τῆς ἀκτῆς φύλλα ὅσον χεῖρα [9]πλείην, καὶ τῆς μυρσίνης τὸ ἴσον ἐμβάλλων ἐς ὕδωρ, ἑψήσας καὶ ἀποχέας τὸ ὕδωρ, ἐμβάλλων κριθῶν ἄχυρα, ἑψήσας, [10]ἔμβαλλε ἐς ῥάκος, ἔπειτα τουτέῳ πυριῆν, ὡς ἂν δύνηται θερμοτάτῳ ἀνέχεσθαι μάλιστα. Ὄξος, [11]ἔλαιον, ὕδωρ, μέλι κεράσας, ταῦτα ἀνάζεσον σφόδρα, ἔπειτα λαβὼν κύστιν χωρέουσαν ὡσεὶ χοέα, ἢ ἀσκίον ὡς λεπτοδερμότατον, ἐγχέας, καὶ περιελίξας ῥάκει εἰρίῳ, πυριῆν· ὁκόταν δὲ [12]ξηρὸν τὸ ῥάκος γένηται, ἕτερον περιελίσσειν. Τῆς πίτυος τὸν φλοιὸν καὶ τοῦ ῥοῦ τὰ φύλλα [13]ἐμβάλλων, ἑψήσας ἰσχυρῶς, ἀποχέας τε τὸ ὕδωρ, καὶ κριθῶν ἄχυρον ἕψε, ἔλαιον ἐπιχέας· ὁκόταν δὲ συνεψήσῃς, ἐμβαλὼν ἐς ῥάκος, πυρία. [14]Λωτοῦ πρίσματα καὶ κυπαρίσσου, ὕδωρ ἐπιχέας καὶ

[1] Ἕτερον· ἀρ. θ. – ἄρ.... ὑποθυμιῆν om. G. — [2] λία θ. – κεδρίαν de Morb. Mul., II, Lind. – πιτυήνην J. — [3] πυριήσιες (ἕτερον pro πυρ. J), βόλβιτον vulg. – πυρίησιν ἐς βόλβιτον θ. – σεσημένον vulg. – σεσησμένον DK. – σεσεισμένον θ. – σεσημμένον J. – τοῦ (τοῦ om. θ) ὀροβ. vulg. – ὀρ. τὸ ἥμισυ om. Lind. — [4] φάκιον πίνειν (πιπίσκειν DHQ') καὶ ῥοφεῖν (ῥοφῆν J) καὶ ἀπεμεῖν δοῦναι vulg. – φάκιον πιπίσκειν καὶ ἀπεμεῖν, καὶ ῥοφεῖν δοῦναι L, Cornar. ex lib. de Morb. Mul., Lind. — [5] κόκκου Lind. – δ' θ. — [6] πιεῖν θ. — [7] τέσσερσιν θ. — [8] αὐτῆς Ald. – ὅσον om. DFHIJKθ, Lind. – χειρὸς πλείης K. – ταῦτα.... πλείην om. G. – εἰς JK. – κρατῆρα DHQ', Lind. – κρατηρίην θ. – καὶ θερμὸν FHIJKQ', Lind. – Post δίφρου addunt τὴν γυναῖκα DFHIJK, Lind. – καθίσας DJKQ'θ, Lind. – καθήσας H. – καθίζας (sic) Ald. – τε om. θ, Ald. — [9] πλένην θ. – ἐμβαλλὼν θ. — [10] ἔμβαλε HJKθ. – ἐς Hθ. – εἰς vulg. – ὅσαν (sic)

sciure de cèdre, feuilles sèches de myrte, pilez, mouillez avec du parfum d'opobalsamum, faites une fumigation. Jetez des aromates dans un parfum et faites une fumigation. Pilez des pepins de raisin et des fruits du cèdre (*juniperus*), mêlez de la résine de pin, mouillez avec du vin cuit, et faites une fumigation. Prenez de la bouse de vache broyée et passée, ajoutez moitié de vinaigre, moitié de farine d'ers, et faites une fumigation légère; après la fumigation, faites prendre de la purée de lentilles, et revomir; ensuite donnez en potage de la farine, et, par-dessus, du vin; le lendemain, donnez le grain de Gnide, et le surlendemain un diurétique. Pilez deux parties de pois chiches blancs, un tiers de raisins secs, versez une moitié d'eau, faites cuire, transvasez, exposez au serein, et le lendemain faites boire; pour le reste, mêlez ensemble de la sauge, de la graine de lin et de la farine d'orge, et donnez deux fois par jour, dans du vin coupé, à la dose de quatre cotyles. Trois demi-cotyles d'huile, une poignée de feuilles de sureau, faites cuire, jetez dans un vase chaud, et faites la fumigation à l'aide de têts chauds, la femme étant assise sur un siége et enveloppée de couvertures. Une poignée de feuilles de sureau, autant de myrte, jetez dans l'eau, faites cuire, transvasez, jetez de la paille d'orge, faites cuire, mettez dans un linge, faites la fumigation aussi chaude qu'elle pourra être endurée. Vinaigre, huile, eau, miel, mêlez, faites bien bouillir, prenez une vessie de la contenance d'un conge ou une outre de peau très-mince, versez, entourez d'un chiffon de laine, et faites la fumigation; quand le chiffon est trempé, mettez un autre. Écorce de pin, feuilles de sumac, faites bien cuire, transvasez l'eau, faites cuire de la paille d'orge avec addition d'huile; quand tout est

Ald. - θερμοτάτω DIJKθ. - θερμότατον Lind. - θερμότητα vulg. — [11] ὕδωρ, ἔλ. J. - ταῦτα κεράσας θ. - χόεα GHIJK. - λεπτοδέρματον vulg. - λεπτοδερμότατον θ, Lind. - εἰρίῳ om. DFG (H, restit. al. manu) IJ. - εἰρέω θ. — [12] χλιαρὸν vulg. - διερὸν DE. - διαιρὸν HIKθ. - διαιρῶν J, Ald. - διαιρῶν, eadem manu διερὸν G. — [13] ἐμβαλὼν θ. - Post ἐμβ. addunt ἐς ὕδωρ Foes in not., Lind. - ἀπόχεον τὸ ὕδωρ θ. - ἀποχέαι D. - εἰς vulg. - ἐς DH. — [14] ἕτερον λ. H. - ἂν om. θ. - συν. θ. - ἐς DHJKθ. - εἰς vulg.

ἔλαιον, ἕψε, ἕως ἂν ξυνεψήσῃς· ἔπειτα ἐμβαλὼν ἐς ῥάκος, πυρία. [1]Ἀρώματα ἐς τὸ ὕδωρ ἐμβαλλόμενα ἑψήσας ὅσον χοίνικα, καὶ τῷ ὕδατι πίτυρα πύρινα ἑψήσας, τὸν αὐτὸν τρόπον πυρία. [2]Κηκίδα κόψας καὶ ῥάμνου τὸν φλοιὸν, ἀφεψήσας ἰσχυρῶς, πίτυρα πύρινα φύρησον τῷ ὕδατι καὶ παράμιξον ἔλαιον· ἔπειτα ἡμίοπτον ποιήσας ἄρτον ὅσον διχοίνικον, ἐνδήσας ἐς ῥάκος, πυρία. [3]Κράμβην καὶ σίσαρα ἀφεψῶν, τῷ χυμῷ ποίησον τὸν αὐτὸν τρόπον. [4]Κριθῶν ἄχυρα ξυνεψῶν, ἔλαιον ἐπιχέας, ἐς ῥάκος ἐνδέων, πυρία. [5]Στρύχνον καὶ τῆς ἐλαίης τὰ φύλλα ἀφεψῶν, τὸν αὐτὸν ποίει τρόπον. [6]Καὶ ταῦτα δὴ, ἢν μὲν βούλῃ ὑγροῖσι χρῆσθαι, πυρία, ὡς γέγραπται· ἢν δὲ βούλῃ ξηροῖς, ἄρτους ποιέων καὶ ἐξόπτους καὶ ἡμιόπτους, πυρία· πυρία δὲ καὶ ὀστράκοις [7]ἐς ῥάκος ἐνειλίσσων, καὶ αὐτοῖς τοῖς ῥάκεσι θερμαίνων, καὶ τοῖς φακοῖς τοῖς ὀστρακίνοις, τὸ ὕδωρ ἐγχέων ζεστόν. Προστίθει δὲ [8]καὶ πρὸς τοὺς πόδας τῆς ἴρεως τὴν ῥίζαν, κόπτων καὶ ἀφεψῶν τὸν αὐτὸν τρόπον πυρία.

35. [9]Ἢν ὕδωρ ἐγγένηται ἐν τῇσι μήτρῃσι, τὰ ἐπιμήνια ἐλάσσω γίνεται καὶ κακίω [10]καὶ διὰ πλέονος χρόνου, καὶ κυΐσκεται [11]ἑκάστοτε διμήνου μικρῷ πλέον· ἐπειδὰν δὲ οὗτος ὁ χρόνος γένηται, καὶ διαφθείρει, καὶ ὕδωρ ἐν αὐτῇ γίνεται πουλύ. Ταύτην δὲ χρὴ γαλακτοποτέειν, καὶ τῶν μηκώνων πίνειν, ἕως ἂν κινεῖσθαι ἄρχηται τὸ ἔμβρυον· ὡς ἐπιτοπουλὺ [12]δὲ πρὸ τουτέου διαφθείρεται καὶ ἐξαμβλοῦται, καὶ αἵματος ῥέουσιν αἱ μῆτραι· ταῦτα δὲ πάσχει οὐδέν τι μᾶλλον ἐκ πόνου ἢ ἄλλως. Τοῦτο δ' ἂν γνοίης ὅτι ὕδρωψ ἔνεστιν, ἐσα-

[1] Ἕτερον· ἀρ. H. – ἀφεψήσας θ. – πύρρινα (bis) GHK, Ald. – πίρρινα I. – πύρ. πίτ. J. – πυρία D. – πυρία om. vulg. — [2] κικίδα DHJK. – ἀφεψήσας HJ. – ἐφέψ. vulg. – διχοίνικα vulg. – διχοίνικον θ. – εἰς J. — [3] ἕτερον· κρ. θ. – σίσαρα θ. – πράσα vulg. – τὸν χυμὸν J. – ποίησον om. θ. – αὐτὸν Jθ. – ἴσον vulg. — [4] ἕτερον· κρ. θ. – ξυν. DH. – συν. vulg. — [5] ἕτερον· στρ. θ. – στρύχνου JQ', Lind. – τὸν αὐ. τρόπον Jθ. – ποίῃ Ald. – πυρία pro ποίει θ. — [6] καὶ om. θ. – δὲ θ. – βούλῃ om. θ. – βούλει (bis) H. – ὑγραῖσι vulg. – Il faut lire ou ὑγροῖσι, ou, comme Lind., ξηραῖσι au lieu de ξηροῖς. – χρ. om. (D, restit. al. manu) GHθ, Ald. – ξηροὺς DFGIJK, Ald. – ξηραῖσι Lind. — [7] ἐς DHIKθ. – εἰς vulg. – ἐνελίσσων θ. — [8] καὶ θ. – καὶ om. vulg. – εἴρεως θ. — [9] τριηκοστὸν ὄγδοον J. – περὶ τοῦ ὑγροῦ τοῦ ἐν ταῖς μήτραις G. – περὶ ὑδεριάσεως μήτρας· αἰτίας τε καὶ συμπτώματα καὶ θεράπεια θ. – τά τε ἐπιμ. θ. — [10] καὶ om. FGJ. – πλείονος θ. — [11] ἑκ. ἔτι δὴ (δὲ J) μὴν οὐ (διμήνου θ) μικρῷ vulg. – ἑκ. κατὰ δύο μῆνας ἢ μικρῷ Lind. – ἑκ. δίμηνον ἢ μικρῷ Foes in not. – πλεῖον θ. – διαφθείρει θ, Lind. – διαφθείρῃ vulg. – γαλακτοποτεῖν θ. – κινεῖσθαι DHIKθ,

cuit ensemble, mettez dans un linge et faites la fumigation. Sciure de lotus et de cyprès, versez de l'eau et de l'huile, faites bien cuire ensemble, puis jetez dans un linge et faites la fumigation. Jetez des aromates dans une chénice d'eau (*chenice* = 1 litre,08), faites cuire, puis faites cuire dans cette eau du son de blé, et faites la fumigation de la même façon. Noix de galle, écorce de rhamnus, broyez, faites bien cuire, pétrissez avec cette eau du son de blé, mêlez de l'huile, puis faites de cela un pain de deux chénices à demi cuit, attachez dans un linge et faites la fumigation. Chou et sisarum (*sium sisarum*), faites cuire, employez cette eau de la même façon. Faites cuire de la paille d'orge, ajoutez de l'huile, attachez dans un linge et faites la fumigation. Strychnos (*solanum dulcamara*), feuilles d'olivier, faites cuire et employez de la même façon. Si vous voulez employer humides ces fumigations, faites comme il a été dit; si sèches, faites-en des pains très-cuits et à demi cuits, et faites la fumigation; faites-la encore avec des têts qu'on enveloppe de linges, avec les linges mêmes qu'on échauffe, et avec des vases en terre de forme lenticulaire, qu'on emplit d'eau bouillante. Mettez encore aux pieds la racine d'iris pilée, faites cuire et faites la fumigation de la même façon.

35. (*Eau dans la matrice ; avortement ; inflammation utérine ; traitement.*) Si de l'eau se forme dans les matrices, les règles sont moindres, plus mauvaises, et les époques s'en éloignent. Chaque fois que la femme devient enceinte, elle ne va guère au delà de deux mois; arrivée à ce terme, elle avorte, et il se produit en elle beaucoup d'eau. En ce cas, il faut mettre à l'usage du lait, et faire boire des pavots jusqu'à ce que le fœtus commence à se mouvoir. Mais, d'ordinaire, avant ce temps, l'enfant est expulsé par l'avortement, et du sang s'écoule des matrices. Ces accidents ne surviennent pas plus après de la fatigue qu'autrement. Vous reconnaîtrez qu'il y a de l'eau en

Lind. – κινῆσθαι vulg. – ἄρχηται DGHIJKθ, Ald., Lind. – ἄρχεται vulg. – ἐπὶ τὸ πολὺ θ. — [12] δὲ om. D. – πάσχει ποσόν τι μᾶλλον ἐκ τόκου Lind. – ἐσαφάσσων θ, Lind. – ἀφάσσων vulg.

φάσσων τῷ δακτύλῳ· ὄψει [1]γὰρ τὸ στόμα αὐτέων ἰσχνὸν καὶ ἀφανιζόμενον, περίπλειον ὑγρασίης. Ἢν δὲ αὐτῇ [2]μὴ κατ' ἀρχὰς ἀλλ' ἤδη κινούμενον διαφθείρηταί τε καὶ ἀποπνίγηται, ἥ τε γαστὴρ ἡ νείαιρα ἐπανοιδέει, καὶ ἀλγέει ἁπτομένη ὥσπερ ἕλκεος, καὶ πυρετὸς αὐτὴν καὶ βρυγμὸς λαμβάνει, καὶ ὀδύνη ἔχει ἐς αὐτά [3]τε τὰ αἰδοῖα καὶ τὴν νειαίρην γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας καὶ τὴν [4]ὀσφῦν ὀξεῖά τε καὶ σπερχνή. Ὁκόταν [5]ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν θερμῷ, καὶ ὅπη ἂν ἡ ὀδύνη λαμβάνῃ, τῶν χλιασμάτων πειρεύμενος ὅ τι μάλιστα προσδέχεται προστιθέναι, καὶ φάρμακον πῖσαι καθαρτήριον κάτω· διαλιπὼν δὲ χρόνον ὅσον ἂν δοκέῃ σοι καιρὸς εἶναι, [6]καὶ πυριήσας, προστιθέναι· τῆς κυκλαμίνου ἀποδήσας ὅσον περ, ἔνθες ἐς ῥάκος, καὶ τῷ μέλιτι δεύων, προστιθέναι πρὸς τὸ στόμα τῶν [7]ὑστερέων· καὶ τῆς κυπαρίσσου καταξύσας καὶ τέγξας ἐν ὕδατι, προστιθέναι ὡσαύτως, ἐλάσσω [8]δὲ χρόνον καὶ διὰ πλείονος τοῦτο ὅσῳ μᾶλλον δάκνει καὶ ἐξελκοῖ· καὶ μήλην ποιησάμενος κασσιτερίνην [9]καθιέναι, καὶ τῷ δακτύλῳ ὡσαύτως· καὶ τῶν ποτημάτων πειρώμενος ὅ τι ἂν προσδέχηται πιπίσκειν· καὶ [10]ξυγκοιμάσθω τῷ ἀνδρὶ, ὡς μάλιστα τῶν καιρῶν παριόντων· ἢν γὰρ ξυλλάβῃ τὴν γονὴν καὶ κυήσῃ καὶ τέκῃ, ὑπεκκαθαίρεται, καὶ τὰ [11]πρόσθεν ὑπεόντα ξὺν αὐτῷ, καὶ ὧδε ἂν μάλιστα ὑγιὴς γένοιτο.

36. Ἢν [12]σκιῤῥωθέωσιν αἱ μῆτραι, τό τε στόμα τρηχὺ γίνεται, καὶ τὰ ἐμμήνια κρύπτεται· ὁκόταν [13]δὲ προφανῇ, ὥσπερ ψάμμος, καὶ ἡ γονὴ οὐ γίνεται τουτέου τοῦ χρόνου· ἢν δὲ καὶ ἐσαφάσσῃς τῷ δακτύλῳ, τρηχὺ τὸ στόμα εὑρήσεις τῶν μητρέων. Ὁκόταν ὧδε [14]ἔχῃ,

[1] Γὰρ om. θ. – περιπλεῖον vulg. – περὶ πλεῖον GI, Lind. — [2] μὰ pro μὴ θ. – κενούμενον vulg. – κινούμενον D, Lind. – μὴ (μὴ om. Cornar. Foes in not., Lind.) διαφθ. vulg. – νιαιρὰ θ. – νείερα H. – νειαιρὴ Lind. – ὀδύνην DGHI, Ald. — [3] τε om. DH. – αὐτὰ τά τε IKθ. – νειαίρην D. – νείαιραν vulg. – νείεραν H. – νειαιρὴν Lind. – νιαιρὰν θ. — [4] ιξυν (sic) θ. – ὀξείά τε I. — [5] δὲ ὧδε DIK. – ἡ θ. – ἡ om. vulg. – πειρεύμενος θ. – πειρώμενος vulg. – προσδέχηται vulg. – προσδέχεται θ. — [6] Ante καὶ addunt κλύσας Foes in not. ex libro I de Morb. Mul., Lind. – τῆς.... προστιθέναι om. K. – ἀποδήσας om. J. — [7] μητρέων θ. – προσθεῖναι θ. — [8] δει (sic) pro δὲ θ. – δάκνειν θ. — [9] ἐγκαθιέναι θ. – Post ἂν addit μάλιστα θ. — [10] συγκ. θ. – παρεόντων Lind. – συλλαβεῖν θ. – καὶ τέκῃ om. θ. – ὑπεκκαθαίρεται θ, Ald., Lind. – ὑπερκαθ. GHIJK. – ὑποκαθ. vulg. — [11] πρόσθεν ὑπ' αὐτῷ ξὺν αὐτῷ (ὑπεόντα ξὺν αὐτοῖς Lind.; ὑπεοντασυναυτῶ sic θ) vulg. – γενοίατο θ. — [12] σκιῤῥωθῶσιν vulg. – σκιρρεωθῶσιν C. – σκιρρωθέωσιν θ. – περὶ σκιρας (sic) μήτρας αἰτιῶν καὶ συμπτωμά-

touchant avec le doigt; car vous trouverez l'orifice mince et effacé à cause de l'humidité qui le remplit. Si l'avortement survient, non de bonne heure, mais le fœtus ayant déjà commencé à se mouvoir, et que la femme éprouve de la suffocation, le bas-ventre se tuméfie, il est douloureux au toucher comme s'il y avait une plaie; fièvre; grincement de dents; douleur aiguë et intense aux parties génitales, au bas-ventre, aux hanches, aux flancs et aux lombes. Les choses étant ainsi, on lavera la malade avec de l'eau chaude, et, là où la douleur est ressentie, on fera des applications chaudes, essayant celles qui sont le mieux supportées; on fera boire un médicament qui évacue par le bas; après un intervalle tel que vous le jugerez convenable, ayant administré une fumigation, vous appliquerez un pessaire : prenez un peu de cyclamen, liez, mettez dans un linge, mouillez avec du miel et appliquez à l'orifice des matrices. Raclez du cyprès, mouillez avec de l'eau et appliquez semblablement; mais vous laisserez ce pessaire moins longtemps et vous l'appliquerez à des intervalles plus éloignés, attendu qu'il mord davantage et cause des exulcérations. Vous aurez une sonde d'étain que vous introduirez, et le doigt semblablement. Vous essayerez quels sont les breuvages qui passent le mieux à la malade. Elle dormira avec son mari, surtout aux époques favorables; car, si elle reçoit la semence, devient enceinte et accouche, elle se purge, et avec cette purgation s'en vont les matières qui séjournaient auparavant : c'est surtout de cette façon qu'elle recouvrera la santé.

36. (*Orifice utérin devenu raboteux; dilatation avec la sonde.*) Si les matrices deviennent squirrheuses, l'orifice est raboteux; les règles disparaissent, et, quand elles se montrent, c'est comme du sable, et pendant ce temps il n'y a pas de concep-

των καὶ θεράπεια in marg. θ. – ἐπιμήνια C. – καταμήνια D. – κρήπτεται Ald. — [13] δὲ καὶ θ. – ἄμμος θ. – συμμίσγεται pro οὐ γίν. C, Vaticana exempl. ap. Foes in not. – ἐσαφάσεις C. – ἀφάσσῃς θ. – τῷ δακτύλῳ J, Lind. – τὸν δάκτυλον vulg. – τῆς μήτρας C (θ, μήτρης). — [14] ἔψηται pro ἔχῃ τῆς C. – ἅλας L. – σύκῳ C. – σύκον L. – ὁμοῦ Cθ. – καθαίρεσθαι pro καθ. C. – καθαίρουσιν θ.

τῆς κυκλαμίνου χρὴ τρίψαντα καὶ ἁλὸς καὶ σύκου ὠμοῦ μίσγοντα καὶ ἀναποιοῦντα μέλιτι προστιθέναι, καὶ πυριήσαντα κλύσαι τοῖσι καθαρτηρίοισιν· ἐσθιέτω δὲ τὴν [1]λινόζωστιν καὶ κράμβας ἑφθὰς, καὶ τὸν χυλὸν ῥοφεέτω, καὶ θερμῷ λουέσθω.

37. [2]Ἢν σκιῤῥωθέωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια κρύπτεται, καὶ τὸ στόμα αὐτέων ξυμμύει, καὶ οὐ κυΐσκεται. [3]Ἕως ἂν οὕτως ἔχῃ, ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ὄψει τὸ στόμα τρηχὺ, καὶ τὸν δάκτυλον οὐκ ἐσίησι, καὶ πυρετὸς αὐτὴν λαμβάνει καὶ βρυγμὸς, καὶ ὀδύνη [4]ἔχει τὴν νειαίρην γαστέρα καὶ τὸν κενεῶνα καὶ τὰς ἰξύας. Πάσχει δὲ ταῦτα, ἢν ἐν αὐτῇ διαφθαρὲν σαπῇ τὸ ἔμβρυον· ἔστι δ' ᾗσι καὶ ἐκ τόκου γίνεται· πολλάκις δὲ καὶ ἄλλως. [5]Ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν πολλῷ καὶ θερμῷ, [6]καὶ πυριῆν· ὅταν δὲ νεόλουτος ἢ νεοπυρίητος ᾖ, τὴν μήλην καθεὶς ἀναστομοῦ, καὶ ἀνεύρυνε τὸ στόμα αὐτέων, καὶ [7]τῷ δακτύλῳ ὡσαύτως, καὶ προστιθέναι ὥσπερ ἐπὶ τῆς προτέρης γέγραπται, καὶ τῶν ποτημάτων ὡσαύτως πιπίσκειν, καὶ θεραπεύειν τὸν αὐτὸν τρόπον, [8]ὥσπερ καὶ πρότερον.

38. [9]Ἢν αἱ μῆτραι πρὸς τὰς πλευρὰς προσπέσωσι, βὴξ ἔχει καὶ ὀδύνη, ὑπὸ τὸ πλευρὸν οἷον σφαῖρα, καὶ ἁπτομένη πονέει ὥσπερ ἕλκεος, καὶ καταφθίνει, καὶ δοκέει περιπλευμονίη εἶναι, καὶ σπᾶται, [10]καὶ κυφὴ γίνεται, καὶ τὰ ἐπιμήνια ὅλως οὐ προφαίνεται, [11]ἐνίησι δὲ προφανέντα οἴχεται, τὰ δὲ γενόμενα ἀσθενέα τε καὶ ὀλίγα [12]ἢ κακίω [13]ἢ πρὸ τοῦ, καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τουτέου τοῦ χρόνου. Ὅταν [14]ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι κάτω ἐλατήριον, καὶ [15]λούειν

[1] Λινόζωστιν θ. – λινώζωστιν CD. – λινοζῶστιν vulg. – κράμμα (sic) pro κράμβας C. – ῥοφεέτω D. – ῥοφείτω vulg. — [2] ἢν μῆτραι σκιρεωθῶσιν C. – σκιρωθέωσιν θ. – αὐτῶν C. – συμμ. Cθ. — [3] ὅταν (ὁκόταν θ) ὧδε vulg. – ἕως ἂν οὕτως C. – καὶ ἢν θ. – ἐσαφάση C. – ἐσαφάσῃς D. – ἐσφάσσῃς Ald. – ἐσσίησι (sic) C. — [4] ἔχει IKθ, Ald., Lind. – ἴσχει C. – ἔχῃ vulg. – νειαιρὴν Lind. – νιαιρὰν θ. – νειαίρην C. – νείαιραν vulg. – τοὺς κενεῶνας C. – τὴν ἴξιν C (θ, ἰξύν). – πάσχῃ FG, Ald. – τὸ ἔμβρ. om. C. – ἔστι.... ἔχῃ om. K. – δὲ pro δ' Cθ. – γίν. om. C. — [5] ὅταν οὕτως C. – ταύτην DFGHIJK, Ald. — [6] καὶ om. Dθ. – ὁκόταν θ. – νεοπύρητος CGIK, Ald., Frob. – ᾖ ponitur ante ἢ DH. – ἀνευρυναι (sic) θ. — [7] τῷ om. C. – προτέρας C. – τῶν om. C. – ποτίμων K. – ποτιμάτων IK. — [8] ὡς C. – καὶ om. C. — [9] περὶ τῶν ἐν πλευρᾶ προσπιπτουσῶν ὑστερῶν, αἰτιῶν τε καὶ συμπτωμάτων, καὶ θεράπεια in marg. θ. – αἱ μῆτραι ponitur post προσπ. C. – ἴσχει CGIKθ, Ald., Lind. – ὀδῦναι (sic) C. – τὸ om. CG. – Ante οἷον addit [καὶ προσίσταται σκληρὴ] Lind. – ἀντιπονεῖ pro ἁπτ. πον. C. – πονεῖ θ. – ἕλκεος Cθ. – ἕλκος vulg. – καταφθείνει θ. – περιπν. DHJK. – περιπνευμονικὴν C. — [10] ἢν pro καὶ θ. – φυγὴ (φ. om. C;

tion. Si vous touchez avec le doigt, vous trouverez raboteux l'orifice des matrices. Les choses étant ainsi, pilez du cyclamen, mêlez-y du sel et des figues crues, pétrissez avec du miel et mettez en pessaire. Après une fumigation, injectez ce qui mondifie. La femme mangera la mercuriale et les choux cuits, elle en boira l'eau et se lavera à l'eau chaude.

37. (*Orifice utérin devenu raboteux à la suite de la mort du fœtus dans la matrice ; introduction de la sonde dans l'utérus.*) Si les matrices deviennent squirrheuses, les règles disparaissent, l'orifice se ferme, et la femme ne devient pas enceinte. Tant qu'il en est ainsi, si vous touchez avec le doigt, vous trouverez l'orifice raboteux, et le doigt n'y est pas admis ; fièvre ; grincement de dents ; douleur au bas-ventre, aux flancs et aux hanches. La femme éprouve ces accidents si le fœtus, ayant cessé de vivre, se corrompt en elle ; il en est chez qui cela vient à la suite de l'accouchement ; souvent aussi d'autre façon. Les choses étant ainsi, on lavera la femme avec force eau chaude, on lui fera prendre un bain de vapeur. Immédiatement après le bain d'eau ou de vapeur, introduisez la sonde, ouvrez l'orifice utérin, dilatez-le ; et avec le doigt semblablement ; on mettra en pessaire ce qui a été dit pour le cas précédent ; on administrera les mêmes breuvages, et on traitera de la même façon.

38. (*Déplacement de la matrice vers la hanche.*) Si les matrices se portent vers les côtes, il y a toux, douleur, et comme une boule au côté ; la femme y souffre comme si elle avait une plaie, elle dépérit ; on dirait une péripneumonie, elle a des spasmes ; elle devient bossue ; les règles sont complétement supprimées ; chez quelques femmes cependant, elles apparaissent pour passer aussitôt, et ce qui en paraît est faible et peu

φύγη θ) vulg. - κυφὴ de Morb. Mul., II, L, Cornar., Foes in not., Lind. - γίγν. C. - ἐμμήνια FGIJKθ. - ἐμμήνεια Ald. — [11] Ante ἐν. addit καὶ C. - ἐνίοισι J. - ἐν τῇσι pro ἐν. θ. - τότε (τὰ pro τότε C) δὲ γεν. vulg. — [12] καὶ pro ἢ Cθ. — [13] ἢ om. C. - πρώτου C. - προτοῦ IJK. - ἢ καὶ προτοῦ ἡ γονὴ G (Ald., πρὸ τοῦ). - οὐ γίγνεται (θ, γίν.). - οὐκ om. DFGIJ, Ald. - γίνεται DFGIJ, Ald. - τούτου C. — [14] οὕτως C. - καὶ τὸ pro κάτω C. — [15] πίσας (λούειν C; λούσας Lθ, Lind.) αὐτὴν vulg. - τῶ pro καὶ DFGHIJKQ'.

αὐτὴν πολλῷ καὶ θερμῷ, [1]καὶ τῶν χλιασμάτων ὅ τι ἂν μάλιστα προσδέχηται, προσίσχειν, καὶ προστιθέναι, ὑφ' ὧν καθαίρεται αἷμα· καὶ λίνου σπέρμα φώξας καὶ κόψας καὶ σήσας καὶ τῶν [2]μηκώνων τῶν λευκῶν σὺν ἀλφίτοις λεπτοῖς, καὶ τυρὸν αἴγειον, περιξέσας τὸν ῥύπον καὶ τὴν ἅλμην, [3]ταῦτα μίσγειν, τοῦ τυροῦ δύο, ἓν δὲ τῶν ἄλλων, [4]ἓν δὲ τῶν ἀλφίτων ἑώλων ἀνάλτων, νήστει δίδου πίνειν ἐν οἴνῳ· ἑσπέρης δὲ κυκεῶνα παχὺν, μέλι ἐπιχέων, δίδου· καὶ τῶν πομάτων ὅ τι ἂν μάλιστα προσδέχηται πιπίσκειν· καὶ [5]πυριῆν πυκνὰ, τῷ θερμῷ δὲ αἰονᾷν· [6]καὶ τῇ κηρωτῇ ἡσυχῇ μαλάσσοντα ἀπωθέειν ἀπὸ τοῦ πλευροῦ, καὶ ἀναδεῖν [7]τὸ πλευρὸν ταινίῃ πλατείῃ· καὶ γαλακτοποτεῖν, τὸ βόειον γάλα ὅτι πλεῖστον, [8]ἐφ' ἡμέρας τεσσαράκοντα· σιτίοισι δὲ χρήσθω ὡς μαλθακωτάτοισιν. Ἡ δὲ νοῦσος [9]σπερχνή τε καὶ θανατώδης, καὶ ὀλίγαι διεκφυγγάνουσιν αὐτὴν καὶ μελεδαινόμεναι.

39. Ἢν τὸ στόμα [10]ξυμμύσῃ, γίνεται ἰσχυρὸν ὥσπερ ἐρινεὸν, καὶ ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ὄψει σκληρὸν καὶ [11]ξυνεστραμμένον, καὶ τὸν δάκτυλον οὐκ ἐσίησι, [12]καὶ τὰ ἐπιμήνια ἀποκεκρύφαται, καὶ τὴν γονὴν οὐκ ἐνδέχεται τουτέου τοῦ χρόνου, καὶ ὀδύνη ἔχει τὴν νείαιραν γαστέρα καὶ τὴν ὀσφῦν καὶ τὸν κενεῶνα· [13]ἔστι δ' ὅτε καὶ ἄνω προσίσταται καὶ πνίγει. Ὁκόταν [14]οὖν ὧδε ἔχῃ, φάρμακον πῖσαι κάτω, καὶ λούειν πολλῷ καὶ θερμῷ, καὶ προστιθέναι ἅπερ μαλθάσσει τὸ στόμα, καὶ τὴν μήλην [15]καθιέναι, καὶ ἀναστομοῦν, καὶ τὸν δάκτυλον

[1] Καὶ om. Lind. – τῶν om. C. – προσθεῖναι Cθ. – τὸ αἷμα L, Lind. – φώσας C. – σείσας θ. — [2] μήκων D. – λεπτῶν CH. – λ. καὶ ἐλελίσφακον σὺν Cornar. ex libro II de Morb. Mul., Lind. – καὶ (καὶ om. CHθ) σὺν vulg. – περιξύσας C, Lind. – ῥῦπον Ald., Frob., Lind. — [3] ταύτην C. – μίσγοντα C. – Ante τοῦ addit μὲν C. — [4] τῶν δὲ (ἓν δὲ τῶν pro τῶν δὲ C; καὶ τῶν pro τῶν δὲ L, Lind.) ἀλφίτων vulg. – ἑώλω ἢ pro ἑώλων C. – δίδου νήστει J (θ, νήστι). – [καὶ] νήστει Lind. – νῆστι C. – πιεῖν C. – παχὺν CLθ, Lind. – παχὺ vulg. – μέλιτι C. – ποτημάτων C. – προσδέχεται C. — [5] πιεῖν pro πυριῆν C, Vaticana exempl. ap. Foes in not. – πυκινὰ θ. – καὶ τῶ C. – δὲ αἰονᾷν om. θ. – εἶναι pro αἰ. C. – αἰωνᾶν GH, Ald., Frob. — [6] καὶ Cθ. – καὶ om. vulg. – τῇ [δὲ] Lind. – ἀποθέειν θ. – ἄποθέειν (sic) DH. — [7] τῶ πλευρῶ C. – ὡς pro ὅτι Cθ. — [8] ἐπὶ C. – ὡς pro ἐφ' θ. – τεσσεράκοντα θ. – σίτων C. – χρῆσθαι K. – μαλακωτάτοισι C. — [9] ἐπέρχνη (sic) C. – καὶ ὀλίγαι καὶ (καὶ om. DK) μελεδαινόμεναι διαφεύγουσιν αὐτὴν vulg. – καὶ ὀλίγαι φεύγουσιν μελεδενόμεναι C, – καὶ ὀλίγαι διεκφυγγάνουσιν αὐτὴν μελαιδόμεναι (sic) θ. — [10] σ. Cθ. – περὶ μύσεως τοῦ στομίου, συμπτωμάτων τε καὶ θεράπεια in marg. θ. – γίγν. C. – ἔρινον C. – ἐρινεὸς J. – ἐσαφάσσῃ FGJK, Ald. – ἐσαφάσῃς C. — [11] σ. Jθ. –

abondant, ou de plus mauvaise nature qu'auparavant. Durant ce temps, il n'y a pas de conception. Les choses étant ainsi, on évacuera par le bas avec l'élatérion, on lavera la femme avec beaucoup d'eau chaude, on fera les applications chaudes qu'elle supporte le mieux, et on mettra les pessaires qui provoquent le sang. Prenez de la graine de lin grillée, pilée et criblée, des pavots blancs, de la polenta légère, du fromage de chèvre dont on a ôté l'ordure et la saumure, mêlez deux parties de fromage, une des autres et une de polenta vieille et sans sel, et faites boire à jeun dans du vin; le soir, donnez un cycéon épais avec addition de miel. La femme prendra les boissons qui lui conviennent le mieux; elle recevra de fréquentes fumigations, et fera des affusions d'eau chaude. En amollissant doucement avec le cérat, on éloignera des côtés la matrice; on passera autour des côtés un bandage large. La femme sera mise à l'usage du lait de vache, en aussi grande quantité que possible, pendant quarante jours. Elle usera des aliments les plus émollients. La maladie est violente et dangereuse, et peu, même traitées, en réchappent.

39. (*Orifice fermé.*) Si l'orifice est fermé, il devient résistant comme une figue sauvage; et, si vous le touchez avec le doigt, vous le trouvez dur et contracté; il n'admet pas le doigt; les règles ne paraissent pas, et la semence n'est pas reçue pendant tout ce temps. Il y a douleur au bas-ventre, aux lombes et au flanc. Quelquefois la douleur se porte en haut et cause de la suffocation. Les choses étant ainsi, on administrera un médicament qui évacue par le bas, on lavera avec beaucoup d'eau chaude; on mettra les pessaires qui amollissent l'orifice; on introduira la sonde ainsi que le doigt, et on ouvrira; on fera des affusions. Quand l'orifice est amolli, on met les pessaires qui provoquent

συνεστραμένον C. – συνεσταλμένον K. — [12] καὶ om. C. – ἀποκέκρυφε C. – οὐ δέχεται vulg. – οὐκ ἐνδέχεται θ. – τούτου C. – ἴσχει C. – νιαιρὰν θ. – νειαίραν C. – νειαιρὴν Lind. — [13] ἔστι δὲ καὶ ὅτε καὶ C. – ἔστιν οὖν ὅτε καὶ J. – πνεῖ pro πνίγει C. — [14] οὖν om. C. – οὕτως C. – χρὴ πίσαι Cθ. – τῷ θερμῷ πολλῷ C. – ὅσα· Cθ. – μαλάσσει C. – μαλθάσση K. — [15] καυθιέναι (sic) θ. – κατέονεν (sic) pro καὶ αἰο. C. – αἰονᾶν D. – αἰονεῖν J. – αἰωνῆν Frob. – λιονῆν (sic) θ.

ὡσαύτως, καὶ αἰονῆν. [1]Ὁκόταν οὖν μαλθακὸν ᾖ, προστιθέναι ὁκόσα καθαίρει αἷμα· καὶ τῶν ποτημάτων διδόναι πειρώμενον ὅ τι ἂν προσδέχηται· καὶ τὴν κράμβην ἐσθιέτω, καὶ τὸν χυλὸν ῥοφείτω.

40. [2]Ἢν παραλοξαίνωνται αἱ μῆτραι, καὶ τὸ στόμα αὐτέων λοξὸν γίνεται, καὶ τὰ ἐπιμήνια [3]αὐτῇ τοτὲ μὲν κρύπτεται, τοτὲ δὲ προφανέντα οἴχεται, καὶ οὐχ ὅμοια γίνεται, ἀλλὰ κακίω τε καὶ ἐλάσσω [4]ἢ πρὸ τοῦ, καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τουτέου τοῦ χρόνου, καὶ ὀδύνη [5]ἴσχει τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας καὶ τὴν ὀσφῦν καὶ τὸ ἰσχίον, καὶ ἐφέλκει αὐτό. Ὁκόταν ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι ἐλατήριον, καὶ λούειν θερμῷ, καὶ πυριῆν· [6]ὁκόταν δὲ νεοπυρίητος ἢ νεόλουτος ᾖ, τὸν δάκτυλον [7]ἐσαφάσσουσα, ἀπορθούτω καὶ παρευθυνέτω τὸ στόμα τῶν μητρέων, καὶ ὑποθυμιήσθω τὰ εὐώδεα, καὶ τῶν ποτημάτων δίδου πειρεύμενος ὅ τι ἂν μάλιστα προσδέχηται· [8]σιτίοισι δὲ χρήσθω μαλθακοῖσι, καὶ σκόροδα ἐσθιέτω ἑφθὰ καὶ ὠμὰ, καὶ τῷ ἀνδρὶ [9]ξυγκοιμάσθω, καὶ ἐπὶ τοῦ ὑγιέος ἰσχίου κατακείσθω· τὸ δὲ ἕτερον πυριήσθω. Ἡ δὲ νοῦσος δυσαπάλλακτος.

41. Ἢν [10]ἀναπρησθῶσιν αἱ μῆτραι, ἥ τε γαστὴρ αἴρεται καὶ φυσᾶται, καὶ οἱ πόδες οἰδέουσι καὶ τὰ κοῖλα τοῦ προσώπου, [11]ἡ χροιὴ δὲ ἀειδὴς γίνεται, καὶ τὰ ἐπιμήνια κρύπτεται, καὶ ἡ γονὴ οὐκ ἐγγίνεται τουτέου τοῦ χρόνου, καὶ [12]ἀσθενέει, καὶ ἀλύει, καὶ ὁκόταν ἀναστῇ ἢ προέλθῃ, ὀρθόπνοια αὐτὴν ἴσχει, καὶ ὅ τι ἂν φάγῃ ἢ πίῃ, λυπέει αὐτὴν, καὶ στένει τε, καὶ [13]δύσελπις μᾶλλον ἢ πρὶν φαγεῖν· πολλάκις δὲ καὶ πνίγεται. [14]Ὁκόταν ὧδε ἔχῃ, φάρμακον πῖσαι κάτω,

[1] Ὅταν C. – οὖν om. θ. – δὲ pro οὖν C. – ὅσα CK. – ποτιμάτων G. – πειρώμενον CFGHJKθ, Ald., Frob. – πειρώμενος vulg. — [2] αἱ μῆτραι ponitur post ἢν C. – παραλοξαίνονται vulg. – παραλοξένονται θ. – παραλοξαίνωνται CDGH IJK. – αὐτῶν C. – γένηται θ. — [3] αὕτη θ. – ποτὲ (bis) C. – τότε (bis) Gθ, Ald., Frob. – κρύπτηται θ. – κρύπτονται C. – οἴχηται θ. – γίγν. C. – γίνηται θ. – κακειω (sic) θ. – ἐλασσούμενα C. — [4] ἢ om. C. – πρὸ τούτου C. – προτοῦ GJ. – ἐγγίγν. C. – τούτου C. — [5] ἴσχῃ FGI. – ἴξας C. – νιαιρὰν θ. – νειαίραν C. – νειαιρὴν Lind. – καὶ τὴν ὀσ. om. C. – ἐφέλκῃ GI. – ἐφέλκεται DLQ'. – ὅταν οὕτως C. – ὅταν H. — [6] ὅταν CD. — [7] παραφάσας C. – πειρεύμενος θ. – πειρώμενος vulg. – ἢν pro ἂν θ. — [8] σικύοισι K. – καὶ μαλθ. C. – ὠμὰ καὶ ἑφθὰ θ. – καὶ ὠμὰ καὶ ἑφθὰ C. — [9] ξ. H. – σ. vulg. – συνευδέτω Cθ. – κατακίσθω θ. – τὸ δὲ ἕτ. π. om. C. — [10] ἀναπρησθῶσιν C. – πρησθῶσιν Dθ, Lind. – πρισθῶσιν vulg. – αἴρηται Frob. – φυσσ. J. – οἰδέονται θ. — [11] καὶ ἡ χολὴ δὲ αυδης (sic) C. – γίγν. C. – ἐπιμήνια κρύπτεται (οὐ γίνεται θ, Lind.) καὶ ἡ γονὴ (χροιὴ sic pro γ. θ) οὐκ ἐγγίνεται τούτου C (τουτέου θ, Lind.). – ἐπιμήνια οὐ γίνεται τουτέου vulg. — [12] ἀσθμαίνει CLθ, Vaticana exempl. ap. Foes in

le sang. On essaye quelles sont les boissons qui conviennent le mieux, et on les donne. La femme mangera du chou et boira l'eau de chou.

40. (*Obliquité de la matrice; la sage-femme la redresse.*) Si les matrices deviennent obliques, l'orifice devient oblique aussi; les règles tantôt sont supprimées, tantôt n'apparaissent que pour passer aussitôt; elles n'ont plus même apparence et sont plus mauvaises et moindres qu'auparavant; pendant ce temps, il n'y a pas de conception. De la douleur est ressentie au bas-ventre, aux flancs, aux lombes et à la hanche, qui en éprouve de la contracture. Les choses étant ainsi, il faut administrer un purgatif, laver à l'eau chaude et donner une fumigation. Aussitôt après la fumigation ou le bain, la sage-femme, introduisant le doigt, redressera et corrigera l'orifice des matrices. La malade recevra les fumigations aromatiques; vous arriverez, en tâtonnant, à lui donner les breuvages qui lui conviennent le mieux; elle usera d'aliments émollients; elle mangera de l'ail cuit et cru; elle dormira avec son mari; elle se couchera sur la hanche saine; des fomentations seront faites sur l'autre. Cette maladie est de difficile solution.

41. (*Matrice s'emplissant de vent.*) Si les matrices s'emplissent de vent, le ventre se tuméfie et est soufflé; les pieds se gonflent, ainsi que le dessous des yeux; la couleur devient désagréable; les règles sont supprimées, et durant ce temps il n'y a pas de conception. La femme a de la faiblesse et de l'anxiété, et, quand elle se lève ou marche, sa respiration est gênée; quoi qu'elle mange ou boive, elle en éprouve du malaise, elle se plaint, et est plus découragée qu'avant de manger; souvent même elle suffoque. Les choses étant ainsi, administrez un médicament qui évacue par le bas, lavez avec l'eau chaude

not., Lind. - ἀσθενέει J. - ἀσθενεῖ vulg. - ὅταν C. - ἀναστῇ C. - ἀνίστηται vulg. - προέλθῃ Cθ. - προσέλθῃ vulg. - ὀρθόπνια (ὀρθόπνοια θ) αὐτὴν ἴσχει Cθ. - ἐς τὴν ὀρθόπνοιαν αὐτὴν ἴσχει vulg. - λυπέῃ θ. - λυπεῖ vulg. - σθένεται pro στένει τε C (θ, στενειται sic). — [13] δυσημεῖ vulg. - δυσεμεῖ D. - δυσειμεῖ J. - ἀθυμέει de Morb. Mul., II. - δυσθυμεῖ Lind. - δύσελπις C. - φαγεῖ J. — [14] ὅταν οὕτως C. - χρὴ πίσαι Cθ. - κάτω om. C.

καὶ τῷ θερμῷ λούειν καὶ πυριῆν· διαλιπὼν δὲ [1]χρόνον τινὰ, προστιθέναι ὑφ' ὧν καθαρθείη καὶ δηχθήσεται· πυριῆν δὲ ὡς πυκνότατα τὸ ὅλον σῶμα· [2]τότε δὲ ὑπὸ τὰ αἰδοῖα ὑποθυμιήσθω τὰ εὐώδεα, ὑπὸ δὲ τὰς ῥῖνας τὰ κακώδεα· καὶ ποτήματα δίδου, ὅσα καθαίρει ὑστέρας· καὶ τὴν λινόζωστιν ἐσθιέτω, καὶ τὸ γάλα [3]πινέτω, ὥσπερ ἐπὶ τοῦ πλευροῦ εἴρηται. Ἡ δὲ νοῦσος χρονίη.

42. [4]Ἢν θρομβωθέωσιν αἱ μῆτραι, τὸ στόμα αυτεων γίνεται οἷον ὀρόβων μεστὸν, καὶ ἢν ἐσαφάσσῃς, ὄψει [5]ὧδε ἔχον, καὶ τὰ ἐπιμήνια οὐ γίνεται, οὐδ' ἡ γονὴ κατέχεται. [6]Ὁκόταν οὖν ὧδε ἔχῃ, τῆς κυκλαμίνου τὸν φλοιὸν περιλεπίσαντα, [7]καὶ σκόροδον καὶ ἅλας καὶ σῦκον καὶ μέλι ὀλίγον, ταῦτα τρίψας καὶ ξυμμίξας, ποιήσας βάλανον, προσθεῖναι πρὸς τὸ στόμα τῶν μητρέων, καὶ τῶν ἄλλων προσθετῶν [8]τῶν μητρέων τὰ προσήκοντα, ὁκόσα δηλαδὴ δριμέα ἐστὶ καὶ ἀπεσθίει, [9]καὶ ὑφ' ὧν καθαίρεται αἷμα, καὶ τῶν ποτημάτων διδόναι ὅσα ὑστέρας καθαίρει, [10]καὶ περὶ ξύστραν περιειλίξας γυπὸς δέρμα ἢ ὑμένα, διαξύειν τὸ στόμα τῶν μητρέων.

43. Ἢν [11]περιστραφέωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια οὐ γίνεται, καὶ ἡ γονὴ οὐκ ἐγγίνεται, [12]καὶ ὀδύνη ἴσχει τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας· καὶ ἢν ἐσαφάσσῃ τῷ δακτύλῳ, οὐκ ἂν δύναιτο τοῦ στόματος θιγεῖν τῶν μητρέων, ἀλλ' ἀνακεχώρηκεν ἰσχυρῶς. [13]Ὁκόταν οὕτως ἔχῃ, φάρμακον χρὴ πῖσαι ὑφ' οὗ καθαίρεται ἄνω καὶ κάτω, κάτω δὲ μᾶλλον· καὶ πυριῆν τό τε [14]σῶμα καὶ

[1] Καιρὸν C. – τινὰ om. Cθ. – καθαίρεται Cθ. – τε καὶ θ. – μὴ δηχθ. Cornar. ex lib. II de Morb. Mul., Lind. – δειχθήσεται θ. – πυριὴν C. – πυκνότατον DQ', Lind. – πυκνότητα Ald. – τὸ μὲν ὅλον τὸ σῶμα C. — [2] τὸ pro τότε C. – δὲ καὶ ὑπὸ FGIJ, Ald. – τὰ om. J. – ὑποθ. τὰ εὐ. om. C. – Post ὑστ. addunt καὶ ἐλαύνει C, Vaticana exempl. ap. Foes (θ, ἐλάσσει; Ald., ἐλάσεις). – λινόζωστιν CDθ. – λινοζῶστιν vulg. — [3] καταπινέτω C. – μεταπινέτω θ. – γέγραπται Cθ. – οὐ χρονίη legit Cornar. ex libr. II de Morb. Mul. — [4] Ante ἢν addit ἄλλη θεραπεία vulg. – ἄλλη θερ. om. CDHIKθ, Lind. – περὶ θρομβώσεως μήτρας, συμπτωμάτων καὶ θεραπεία in marg. θ. – θρομβωθῶσιν vulg. – θρομβοθέωσιν C. – θρομβωθέωσιν θ. – τό τε στ. Cθ. – αὐτῶν C. – ὀρρόβων C. – ἐσαφάσῃς C. — [5] οὕτως C. – γίγν. C. – οὐδὲ CDθ. – ἡ om. C. – Post κατ. addunt τέως ἂν ὧδε (οὕτως C) ἔχῃ Cθ, Ald. — [6] ὀκ. οὖν ὧδε ἔχῃ om. C. – οὖν om. θ. — [7] χρὴ καὶ Cθ. – συμμ. CJθ. – [καὶ] ποι. Lind. – προσθέτων θ, Lind. — [8] τῶν μ. τὰ πρ. om. Cθ. – ὅσα C. – ὁκόσα τε θ. – δηλαδὴ om. Cθ. – δριμέα τε C. – ἀπεσθίει C. – ἀνεσθίει θ. – κατεσθίει sine καὶ L. – ἐσθίει vulg. — [9] Ante καὶ addunt προστιθέναι δὲ C (θ, sine δέ). – αἷμα om., restit. al. manu D. — [10] καὶ περιξύσας πάντα καὶ περιειλίξας (περιει-

et faites une fumigation; après un certain intervalle, mettez les pessaires qui sont mondificatifs et mordants; vous ferez aussi souvent que possible des fumigations de tout le corps; alors vous ferez des fumigations aromatiques aux parties génitales, fétides aux narines. Vous donnerez les boissons qui purgent les matrices. La malade mangera la mercuriale et boira du lait comme il a été dit pour le côté. La maladie est de longue durée.

42. (*Caillots de sang dans la matrice.*) Quand des caillots se forment dans les matrices, l'orifice en devient comme plein de grains d'ers; si vous le touchez, vous le trouverez en cet état; les règles ne paraissent pas, et la semence n'est pas conservée. Les choses étant ainsi, prenez du cyclamen dont vous aurez ôté l'écorce, de l'ail, du sel, des figues, un peu de miel; pilez, mêlez, faites un pessaire et appliquez-le à l'orifice des matrices, ainsi que, parmi les autres pessaires utérins, ceux qui conviennent, à savoir les pessaires âcres, mordants, et provoquant le sang. Vous donnerez les boissons qui purgent les matrices; et, ayant entouré d'une peau ou membrane de vautour une étrille, vous ratisserez l'orifice utérin.

43. (*Déviation de la matrice.*) Si les matrices ont une entorse, les règles ne paraissent pas; il n'y a pas de conception; de la douleur est ressentie au bas-ventre, aux lombes et aux flancs. Si vous touchez avec le doigt, vous ne pouvez atteindre l'orifice, qui est grandement retiré. Les choses étant ainsi, administrez un médicament qui évacue par haut et par bas, mais surtout par bas; on fera des fumigations, tant générales du

λίσας DHIK; περιειλήσας J) κύστιος δέρμα vulg. – καὶ περὶ ξύστραν περιειλίξας γυπὸς δέρμα Lind. – καὶ περὶ ξύστραν πάντα καὶ περιειλίξας γυπὸς δέρμα Vaticana exempl. ap. Foes. – καὶ περίξυστραν (sic) καὶ περιελλίξας γυπὸς δέρμα C. – καὶ περιξύσας πᾶν περιελίξας κύστιος δέρμα θ. — [11] περιστραφέωσιν θ. – περιστραφῶσιν vulg. – περὶ τῶν περιστρεφομένων ὑστερῶν συμπτωμάτων τε καὶ θεραπεία in marg. θ. – γίγν. C. – ὀδύνη pro ἡ γονὴ C. — [12] καὶ ἡ ὀδ. C. – νειαίραν C. – νιαιρὰν θ. – νειαιρὴν Lind. – ἐσαφάσεις C. – ἐσαφάσσῃς Dθ. – δύναιο C. – θίγειν CFGHIJθ, Ald., Frob., Lind. — [13] ὅταν C. – ὧδε θ. – καὶ ἄνω καὶ κάτω C. – μᾶλλον δὲ pro κάτω δὲ μ. C. — [14] σῶμα Cθ, Vaticana exempl. ap. Foes. – στόμα vulg. – ὡς om. C. – ποτιμάτων G. – προσδέξηται θ. – δίδου πειρ. C.

τὰς μήτρας ὡς μάλιστα· καὶ λούειν τῷ θερμῷ δὶς τῆς ἡμέρης· καὶ τῶν ποτημάτων ὅ τι ἂν μάλιστα προσδέχηται πειριώμενος δίδου· καὶ [1]ξυνευδέτω τῷ ἀνδρὶ ὡς πυκνότατα, καὶ τὴν κράμβην ἐσθιέτω.

44. [2]Ἢν μὴ κατὰ χώρην μένωσι κινηθεῖσαι αἱ μῆτραι, ἀλλ' ἔνθα καὶ ἔνθα προσπίπτωσιν, ὀδύνας παρέχουσι καὶ ἀφανέες [3]γίνονται, ὁτὲ δὲ ἐξίσχουσιν ὥσπερ ἕδρη· καὶ ὁκόταν μὲν ὑπτίη κατακειμένη [4]τύχῃ, κατὰ χώρην μένουσιν· ὅταν δὲ ἀναστῇ ἢ ἐπικύψῃ ἢ ἄλλο τι κινηθῇ, ἐξέρχονται· πολλάκις δὲ καὶ [5]ἡσυχίην ἐχούσῃ. Ταύτην χρὴ ὡς μάλιστα ἡσυχάζειν καὶ μὴ κινεῖσθαι, καὶ τὴν κλίνην κεῖσθαι πρὸς ποδῶν ὑψηλοτέρην, καὶ τοῖσιν αὐτέοισι χρῆσθαι, [6]ὥσπερ ἐν τοῖσιν ἐπάνω, καὶ [7]τοῖσι στρυφνοῖσιν αἰονῆν, καὶ ὑποθυμιῆν τὰ κακώδεα, ὑπὸ [8]δὲ τὰς ῥῖνας τὰ εὐώδεα· καὶ τῶν ῥοιῶν διὰ τοῦ ὀμφαλοῦ τρήσαντα μέσην, χλιήναντα ἐν οἴνῳ, ἥτις ἂν μάλιστα ἁρμόζῃ καὶ μὴ πιέζῃ λίαν, προστιθέναι ὡς προσωτάτω· [9]ὁκόταν δὲ προσθῇς, ἐκ τῆς ὀσφύος ἐπαναδῆσαι ταινίῃ πλατείῃ ἀναλαβὼν, ὡς ἂν μὴ ἐξολισθάνῃ, ἀλλὰ μένῃ καὶ ποιέῃ τὸ [10]δοκέον· καὶ τῶν μηκώνων ξὺν τῷ τυρῷ καὶ τοῖσιν ἀλφίτοισι πιπίσκειν, ὥσπερ ἐν τῇ πρὸς τὸ πλευρὸν προσπτώσει γέγραπται· [11]καὶ τῶν ποτημάτων πειρώμενος ὅ τι ἂν μάλιστα προσδέχηται, πιπίσκειν· σιτίοισι δὲ ὡς μαλθακωτάτοισι [12]χρήσθω.

[1] Σ. Cθ. – ξυνευνέτω DGHIK. – ξυνευναζέτω J. — [2] ἄλλη θεραπεία G. – περὶ παρακινήσεως μήτρας καὶ προσπτώσεως ἐπί τι, καὶ εἰς ἕδρην ἐξοχῆς, συμπτωμάτων τε καὶ θεραπεία in marg. θ. – ἢν [δὲ] μὴ Lind. – χώρην DJKθ. – χώραν vulg. – μὲν ὦσι θ. – κιν. αἱ μ. om. C. – ἔνθα δὲ προσπίπτουσιν (προσπίπτωσιν J, Lind.) ὀδύνας παρέχωσι (παρέχουσιν DK, Lind.) vulg. – ἀλλὰ ἔνθα προσπίπτουσαι ὀδύνας παρέχωσι C. – ἀλλ' ἔνθα προσπίπτωσιν ὀδύνην παρέχωσι θ. – ἔνθα δὲ καὶ ἔνθα προσπίπτωσιν ὡς ὀδύνας παρέχειν L ex lib. II de Morb. Mul. – C'est aussi d'après ce passage parallèle que j'ai réformé le passage actuel. — [3] γίγν. C. – γίνωνται θ. – τότε Cθ. – ὅτε G, Ald., Frob., Lind. – ἐξίσχωσιν vulg. – ἐξίωσιν CLθ, Lind. – ἐξίσχουσιν (D, al. manu χω) K. – ὡς παρέδρη θ. – ἑδρῇ (sic) Ald., Frob. – καὶ ὀκ. Cθ. – καὶ om. vulg. — [4] ἡσυχῇ pro τύχῃ C, Vaticana exempl. ap. Foes. – μὲν οὖσιν θ. – ὀκόταν θ. – ἀλλ' ὅτι θ. — [5] ἡσυχίαν θ. – ἐχούσῃ Cθ, Lind. – ἔχουσι (ἔχει G) vulg. – ὡς ὅτι (ὅτι om. Gθ, Lind.) vulg. – Post ἡσυχάζειν addunt τι C (θ, τε). – τοῖς θ. – τοῖσιν om. C. – αὐτοῖς C. – αὐτοῖσι θ. – χρήσασθαι C. — [6] ὅπως ἂν pro ὥσ. ἐν C. – τοῖς θ. — [7] τοῖς vulg. – τοῖσι IKθ, Lind. – στρυφνοῖς C. – δὲ αἰονεῖν C. – αἰονᾷν vulg. – αἰονῆν HK. – αἰωνᾷν GI, Ald., Frob. — [8] τε pro δὲ C. – τὰ om. C. – εὔδεα (sic) θ. – καὶ ῥοιὰν vulg. – καὶ τοῦ ῥοιῶν (sic) GHIJ, Ald. – καὶ τῶν ῥοιῶν CDFKθ, Vaticana exempl. ap. Foes. – τοῦ om. θ. – τρήσαντα (τρήσαντος J) μέσην (μ. om. θ) πίσσαν (πίσσην θ; π. om. C) χλιήναντα ἐν οἴνῳ (ἐν οἴνω χλιά. C, θ χλιήν.) ἥτις ἂν μ. ἁ. καὶ μὴ (μὴ

corps que particulières de la matrice; on lavera à l'eau chaude deux fois par jour; on arrivera, en tâtonnant, aux boissons qui conviennent le mieux à la femme: elle dormira souvent avec son mari; elle mangera du chou.

44. (*Matrice déplacée, ne restant pas en place.*) Si les matrices déplacées ne restent pas en leur lieu, mais vont se jeter çà et là, elles causent des douleurs, et tantôt deviennent invisibles, et tantôt font saillie comme le siége. Quand la femme est couchée sur le dos, elles demeurent en place; quand elle est debout, ou qu'elle se baisse ou qu'elle fait tout autre mouvement, elles sortent, et souvent même la femme étant en repos. Il faut que la malade se tienne aussi tranquille que possible, ne bouge pas, ait un lit plus élevé aux pieds, et use des mêmes moyens que dans les cas précédents. On fera des affusions avec les astringents, des fumigations par le bas avec les substances fétides, sous les narines avec les aromatiques. Vous percerez, par l'ombilic, une grenade, vous la chaufferez dans du vin et vous l'appliquerez en pessaire le plus avant possible, choisissant celle qui va le mieux et qui ne distend pas trop; quand elle est en place, vous fixez aux lombes un bandage large qui la reprend de manière que, ne glissant pas, elle reste en place et fasse son office. Vous donnerez à boire du pavot avec le fromage et la polenta, comme il a été écrit dans le transport de la matrice contre le côté. Vous arriverez, en tâtonnant, à prescrire les boissons qui conviennent le mieux. La malade usera des aliments les plus émollients.

om. C) πιέζου (πιέζων Lind.; πιέζει θ, Vaticana exempl. ap. Foes; πιέζῃ CDHIJK) λίαν προστιθεὶς (προσθεὶς θ; προστίθει C) ὡς vulg. – ἐσώτατα C. – ἐσωτάτω θ. – Il faut lire προστιθέναι. — [9] ὅταν C. – δέ τι (τι om. Cθ) vulg. – προστιθῇς vulg. – προστίθης H, Ald., Lind. – προσθῇς C. – προσθεὶς θ. – προστιθεὶς J. – ἐκ τῆς ὁ. om. C. – ἐπανάδησαι C. – ἐξολισθαίνῃ DJ. – ποιῇ C. – ποιέει K. — [10] δέον Cθ, Vaticana exempl. ap. Foes, Lind. – σὺν C. – πυρῷ vulg. – πυρὶ C. – πυρρῷ GK. – τυρῷ θ, Vaticana exemplaria ap. Foes, Lind. – τοῖς θ. – τοῖς ἀλφίτοις C. – προπτώσει C. – προσπόσει (sic) IJK. — [11] καὶ CJ. – καὶ om. vulg. – ποτιμάτων G. – ποιημάτων θ. – πηρώμενος C. – μαλακωτάτοισι CJ. — [12] Post χρήσθω addit καὶ μετὰ (μετ' C) ἀνδρὸς ὡς ὅτι (ὡς ὅτι om. C) μάλιστα κοιμάσθω vulg. – καὶ.... κοιμάσθω om. θ.

45. Ἢν ἀναχάνῃ τὸ στόμα τῶν μητρέων [1]μᾶλλον ἢ ὡς πέφυκε, τὰ ἐπιμήνια γίνεται πλείω καὶ κακίω [2]καὶ ὑγρότερα καὶ διὰ πλέονος χρόνου, καὶ ἡ γονὴ αὐτῆς οὐχ ἅπτεται [3]οὐδὲ ἐμμένει, ἀλλὰ πάλιν ἐκχεῖται ἔξω· καὶ ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ τὸ στόμα τῶν μητρέων, εὑρήσεις ἀνακεχηνὸς, καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐπιμηνίων, καὶ πυρετὸς, καὶ ῥῖγος, καὶ ὀδύνη ἴσχει [4]τὴν νείαιραν γαστέρα καὶ τοὺς κενεῶνας καὶ τὰς ἰξύας. Πάσχει δὲ ταῦτα [5]μάλιστα μὲν, ἤν τι ἐν αὐτῇ χυθῇ καὶ διαφθαρὲν σαπῇ· πάσχουσι δὲ καὶ ἐκ τόκων, αἱ δὲ καὶ ἄλλως. [6]Ὁκόταν γοῦν ὧδε ἔχῃ, φάρμακον χρὴ πιπίσκειν ὑφ' οὗ ἄνω καθαιρεῖται· καὶ [7]ὁκόταν ἡ ὀδύνη ἔχῃ, τῶν χλιασμάτων προστιθέναι, καὶ τῷ θερμῷ λούειν, [8]καὶ διαλιπὼν κλύζειν, ὥσπερ ἐπὶ τῆς προτέρης γέγραπται, καὶ τῶν ποτημάτων διδόναι ὅ τι ἂν μάλιστα προσδέχηται, καὶ ὑποθυμιῆν [9]ὁκόσα ξηραίνει, καὶ τῶν πουλυπόδων ἐσθιέτω, καὶ τὴν λινόζωστιν.

46. Ἢν [10]λειανθέωσιν αἱ μῆτραι, τά τε ἐπιμήνια πλέω γίνεται καὶ κακίω καὶ ὑγρότερα καὶ πυκνότερα, καὶ ἡ γονὴ οὐκ ἐμμένει, ἀλλὰ πάλιν ἐξέρχεται, καὶ ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ὄψει τὸ στόμα [11]λεῖον, καὶ ἀδυναμίη αὐτὴν λαμβάνει ὑπὸ τῶν ἐμμηνίων, καὶ πυρετὸς, καὶ ῥῖγος, καὶ ὀδύνη [12]ἐς τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας, μάλιστα μὲν ἤν τι ἐν αὐτῇ διαφθαρὲν σαπῇ, καὶ ἐκ τόκου, καὶ ἄλλως· [13]ὅταν ὧδε ἔχῃ, θεραπεύειν χρὴ ὅκου ἂν ἡ ὀδύνη ἔχῃ, ὥσπερ ἐπὶ τῆς προτέρης γέγραπται.

47. Ἢν αἱ [14]μῆτραι κατὰ τὰ ἀριστερὰ νεύωσι, τὸ ἰσχίον ὀδύνη

[1] Ante μᾶ. repetit ἀναχάνη C. – τά τε (τε om. C) vulg. — [2] καὶ om. CFG. – καὶ ὑγρ. om. K. – πλείονος DHKθ. — [3] οὐδ' θ. – ἐμμένῃ Ald., Frob. – μένει CDFGHIJK. – ἐξωθεῖται J. – ἔξω om. CJθ. – ἐσαφάσης C. – τῶν μ. om. Cθ. – ἀδυναμίην J. — [4] Ante τὴν addit καὶ K. – νειαῖραν C. – νιαιρὰν θ. – νειαιρὴν Lind. — [5] Ante μ. addit καὶ θ. – χυθῇ καὶ om. Cθ. — [6] ὅταν C. – γοῦν om. Cθ. – οὖν J. – οὕτως C. – ὧν pro οὗ H. – ἀνακαθαίρεται pro ἄνω κ. DK. – καθαίρεται vulg. – καθαιρεῖται C. — [7] ὁπ. C. – ὧδε pro ἡ ὀδ. J. — [8] καὶ μὴ διαλιπόντα C. – μὴ διαλιπὼν Vaticana exempl. ap. Foes. – διαλιπόντα θ. – προτέρης DHIθ. – προτέρας vulg. – ποτιμάτων G. — [9] ὅσα C. – ὁπόσα J. – πουλυπόδων θ. – πολ. vulg. – λινόζωστιν CD. – λινοζῶστιν vulg. — [10] λιανθέωσιν IKθ, Ald. – λειανθῶσιν D. – λεανθέωσιν J. – διαθῶσιν C. – πλέω HIJK, Ald., Frob. – πλείω vulg. – γίγν. C. – καὶ κακίω om. C. – ἐσαφάσης C. – ὄψη θ. — [11] λίον θ. – λείη C. – ἀδυναμείη C. – λαμβάνη θ. – ἐμμήνων GKθ. — [12] ἐς τε τὴν C. – νειαῖραν C. – νειαιρὴν Lind. – νιαιρὰν θ. – τὰ pro τι C. – διαφθαρῇ ἢ σαπῇ C. – καὶ ἐκ τοῦ τ. C. — [13] ὁκόταν θ. – οὕτως C. – θεραπεύειν.... πῖσαι om., restit. al. manu D. – ὁπόταν pro ὅκου ἂν C (θ, ὁκόταν). – πρότερον C. – Post

45. (*L'orifice de la matrice est béant.*) Si l'orifice est plus béant que d'habitude, les règles sont plus abondantes, plus mauvaises, plus humides et plus prolongées; la semence ne prend pas, ne demeure pas et retombe en dehors. Si vous touchez avec le doigt, vous trouvez l'orifice des matrices béant. La femme est dans l'adynamie à cause des règles; il y a fièvre, frisson, douleur au bas-ventre, aux flancs et aux lombes. La femme éprouve surtout ces accidents si quelque chose, s'étant formé en elle, cesse de vivre et se corrompt; elle les éprouve aussi après l'accouchement, et encore d'autre façon. Les choses étant ainsi, vous donnerez un médicament qui évacue par le haut. Quand il y a douleur, vous ferez les applications chaudes; vous laverez à l'eau chaude; et, après un intervalle, vous ferez des injections comme il a été dit dans le cas précédent; vous donnerez les boissons qui conviennent le mieux à la malade; vous prescrirez les fumigations qui dessèchent. Elle mangera des poulpes et de la mercuriale.

46. (*État lisse de l'orifice utérin, ce qui empêche la conception et cause des accidents.*) Si les matrices sont lisses, les règles sont plus abondantes, plus mauvaises, plus humides et plus fréquentes; la semence ne reste pas, elle retombe en dehors. Si vous touchez avec le doigt, vous trouvez lisse l'orifice. La femme est dans l'adynamie à cause des règles; il y a fièvre, frisson, douleur au bas-ventre, aux lombes et aux flancs. Cela arrive, surtout si quelque fœtus, ayant cessé de vivre, se corrompt en elle, et aussi à la suite de l'accouchement, et autrement encore. Les choses étant ainsi, on traitera, là où il y a douleur, comme il a été dit dans le cas précédent.

47. (*Inclinaison à gauche de la matrice.*) Si les matrices s'in-

πρ. addunt ταύτης CIJKθ.— [14] ὑστέραι C.-κατὰ γαστέρα νεύωσι (νέωσι IJK; ἕωσι H; ἐῶσι ἢ C) vulg.-κατὰ τὰ στέρνα ἐῶσι θ.-κατὰ τὰ ἀριστερὰ L, Lind.-Cette dernière leçon est la bonne; c'est celle du IIe livre des Maladies des Femmes, mais, là, il est d'abord question de l'inclinaison de la matrice à droite.-ἡ ὀδύνη C.-ἴσχει θ.-ὀξεία Cθ.-γε pro τε C.-τάς τε pro καὶ τὰς Cθ.-περὶ τῆς κατὰ τὰ στέρνα οὔσης ὑστέρας, συμπτωμάτων τε καὶ θεραπεία in marg. θ.

ἔχει ὀξείη τε καὶ σπερχνὴ καὶ τὰς ἰξύας καὶ τοὺς κενεῶνας, καὶ τὸ σκέλος ἐπισχάζει. [1]Ὁκόταν ὧδε ἔχῃ, φάρμακον χρὴ πῖσαι ἐλατήριον, τῇ δὲ ὑστεραίῃ ὑποθυμιῆν· τῶν τε κριθέων χοίνικας δύο καὶ ἐλαίης φύλλα καταχνήσας μικρὰ, καὶ κηκίδα κατακόψας καὶ σήσας, καὶ ὑοσκυάμου τριτέα [2]χοίνικος, ταῦτα μίξας, καὶ ἐλαίῳ περιποιήσας ὅσον ἡμικοτύλιον ἐν χύτρῃ, ὑποθυμία ἐπὶ τέσσαρας ἡμέρας τρὶς τῆς ἡμέρης· τῆς δὲ νυκτὸς γάλα βοὸς καὶ μέλι καὶ ὕδωρ πινέτω, καὶ θερμῷ λουέσθω.

48. [3]Ἢν ἐς τὴν κεφαλὴν τραπῶσιν αἱ ὑστέραι, σημεῖον τόδε· τὰς φλέβας τὰς ἐν τῇ ῥινὶ, τάς τε ὑπὸ τοῖς ὀφθαλμοῖς ἀλγεῖν φησιν. Ταύτην χρὴ λούειν θερμῷ πολλῷ, καὶ κατὰ τῆς κεφαλῆς, δάφνην τε καὶ μυρσίνην ἐνεψῶν ἐν τῷ ὕδατι, καὶ ῥοδίνῳ μύρῳ τὴν κεφαλὴν ἐγχριέσθω, καὶ [4]ὑποθυμιήσθω τὰ εὐώδεα, καὶ τὴν κράμβην ἐσθιέτω, καὶ τὸν χυλὸν ἐπιῤῥοφείτω.

49. [5]Ἢν ἐς τὰ σκέλεα καὶ τοὺς πόδας τραπῶσι, γνώσῃ τῷδε· τοὺς μεγάλους δακτύλους τῶν ποδῶν σπᾶται ὑπὸ τοὺς ὄνυχας, καὶ ὀδύνη ἴσχει τὰ σκέλεα καὶ τοὺς μηρούς. [6]Ὁκόταν ὧδε ἔχῃ, χρὴ λούειν αὐτὴν πολλῷ καὶ θερμῷ, καὶ πυριῆν ὅ τι ἂν μάλιστα προσδέχηται, καὶ ὑποθυμιῆν τὰ κακώδεα, καὶ τῷ μύρῳ τῷ ῥοδίνῳ ἀλείφεσθαι.

50. [7]Ἢν γυναῖκα ὑστέρας ἀλγέουσαν ἀσιτίη τε καὶ πυρετὸς καὶ ῥῖγος λαμβάνῃ, μήκωνος λευκῆς ὅσον πεμπτημόριον ἡμιχοινικίου, καὶ κνίδης καρποῦ τὸ ἴσον, καὶ τυροῦ αἰγείου ὅσον [8]ἡμιχοινίκιον ξύσας, ὁμοῦ μίξας, διεὶς οἴνῳ παλαιῷ, ἔπειτα ἑψήσας, διδόναι ῥοφάνειν.

[1] Ὅταν οὕτως C. – ἔχει D. – δ' CDθ. – κριθῶν Cθ. – καταχνίσας Hθ. – μικρὰ Hθ. – μικὰ C. – πυκνὰ vulg. – κηκίδα GIθ, Ald., Frob., Lind. – κικίδα vulg. – σείσας θ. – οιος κυάμου (sic) θ. – τριτέα θ. – τριταία DI. – τριταῖα vulg. – τριταίου J. — [2] φοίνικος FGIJ. – περιποιησάσθω sine ὅσον C. – ἡμικοτυλίω C. – ἐν χυτρίῃ κενῇ C. – ἐν χ. καινῇ Vaticana exempl. ap. Foes. – καὶ ὑποθ. θ. – ὑποθυμίη C. – ἡμέρας om. D. – καὶ ὕδ. καὶ μέλι J. – καὶ τῷ θερμῷ CJθ. — [3] περὶ τῆς ἐν τῇ κεφαλῇ τρεπομένης μήτρας συμπτωμάτων τε καὶ θεραπεία in marg. θ. – τῇ CDFGHIJKθ, Ald., Lind. – τῇ om. vulg. – τάς ante τε om. D. – τε om. Cθ. – φησιν Cθ. – φασι Vaticana exempl. ap. Foes. – δοκεῖ vulg. – δοκέει Lind. – πολλῷ θερμῷ JK. – δάφνη θ. – μυρτίνην ἐνέψων C. – ἐν om. D. – χριέσθω Cθ. — [4] ὑπ. θ, Lind. – ἐπιθ. vulg. – εὔδεα (sic) θ. – ἐπιρροφείτω DHJK. – ἐπιροφείτω vulg. — [5] περὶ τῆς εἰς τὰ σκέλη καὶ τοὺς πόδας τρεπομένης, συμπτωμάτων τε καὶ θεραπεία in marg. θ. – ἐν (ἐν om. Cθ) τῷδε (τόδε θ) vulg. – σπῶνται θ. – ἔχει L. — [6] ὅταν οὕτως C. – λούειν χρὴ Cθ. – ἂν om. C. – ἢν pro ἂν θ. – προσδέχεται C. – τῷ μυρῷ (sic) L. – τῷ ῥοδ. om. J. –

clinent à gauche, une douleur aiguë et violente se fait sentir à la hanche, aux lombes et aux flancs ; la femme boite de cette jambe. Les choses étant ainsi, on administrera un purgatif, et, le lendemain, une fumigation ainsi préparée : orge, deux chénices, feuilles d'olivier, broyez, noix de galle, broyez et tamisez; jusquiame, tiers de chénice ; mêlez, pétrissez avec une demi-cotyle d'huile dans un pot, et faites la fumigation pendant quatre jours trois fois le jour ; pendant la nuit, la femme boira du lait de vache, du miel et de l'eau, et se lavera à l'eau chaude.

48. (*Hystérie.*) Si les matrices se tournent vers la tête, voici le signe : la femme dit souffrir aux veines des narines et du dessous de l'œil. On la lavera avec beaucoup d'eau chaude ; on lui fera des affusions sur la tête avec de l'eau où du laurier et du myrte ont cuit ; on lui oindra la tête avec du parfum de rose ; elle recevra les fumigations aromatiques ; elle mangera du chou et boira l'eau de chou.

49. (*Hystérie.*) Si les matrices se tournent aux jambes et aux pieds, vous le connaîtrez à ce signe : la femme a des spasmes aux gros orteils sous les ongles, et de la douleur est ressentie aux jambes et aux cuisses. Les choses étant ainsi, on la lavera avec beaucoup d'eau chaude, on donnera le bain de vapeur qui convient le mieux, on fera les fumigations fétides, et on oindra avec le parfum de rose.

50. (*Affection de matrice compliquée d'inappétence et de fièvre.*) Si une femme souffrant de la matrice est saisie d'inappétence, de fièvre et de frisson, prenez la cinquième partie d'une demi-chénice de pavot blanc, autant de graine d'ortie, râclez une demi-chénice de fromage de chèvre, mêlez, trempez avec du vin vieux, puis faites cuire et donnez en potage.

ἀλειφέσθω θ. — [7] ἢν γυνὴ ὑστέρας ἀλγέῃ ἀσιτέουσα καὶ π. αὐτὴν καὶ ῥ. λαμβάνῃ vulg. – ἢν γυνὴ ὑστ. ἀλγέουσα ἀσιτέῃ τε καὶ π. αὐτὴν καὶ ῥίγος λαμβάνῃ θ. – ἢν γυναῖκα ὑστέρας ἀλγέουσαν ἀσιτίη τε καὶ π. καὶ ῥίγος λαμβάνει C. – πεμπτιμόριον C. – πεμπτήμορον θ. – κνίδης CDGHIJKθ, Vaticana exempl. ap. Foes, Lind. – κνιδίου vulg. — [8] ἡμιχοίνικα vulg. – ἡμιχοίνικον θ. – ἡμιχοινίκιον C. – ὁμοῦ τι μαλθάξας σὺν οἴνῳ vulg. – ὁμοῦ μίξας, διεὶς οἴνῳ Cθ. – δοῦναι θ. – ῥυμφάνειν K. – ῥομφάνειν Cθ. – ῥυφάνειν GHIJ, Ald.

51. [1]Ἢν ἐκ τόκου ῥοῦς λαμβάνῃ καὶ τὰ σιτία ἐν τῇ γαστρὶ μὴ ἐμμένῃ, ἀσταφίδος χρὴ μελαίνης καὶ ῥοιῆς γλυκείης τὰ εἴσω τρίψας καὶ ἐρίφου [2]πιτύην, διεὶς οἴνῳ μελανόχρῳ, τυρὸν ἐπιξύσας αἴγειον, καὶ ἄλφιτα [3]πυρῶν πεφωσμένα ἐπιβαλὼν, κεράσας εὔκρατον, δὸς πιεῖν.

52. [4]Ἢν αἷμα ἐμέῃ ἐκ τόκου, τοῦ ἥπατος ἡ σύριγξ τέτρωται, καὶ ὀδύνη ἐς τὰ σπλάγχνα φοιτῇ καὶ τὴν καρδίην, [5]καὶ σπᾶται. Ταύτην χρὴ λούειν πολλῷ [6]καὶ θερμῷ, καὶ τῶν χλιασμάτων ὅ τι ἂν μάλιστα προσδέχηται προστιθέναι, καὶ πιπίσκειν ὄνου γάλα ἐπὶ ἡμέρας πέντε· μετὰ δὲ ταῦτα [7]μεταπιπίσκειν βοὸς μελαίνης, ἀσιτέουσαν ἐπὶ ἡμέρας τεσσαράκοντα, ἐς δὲ τὴν ἑσπέρην σήσαμον [8]τρίψαντα πιπίσκειν. Ἡ δὲ νοῦσος ἐπικίνδυνος.

53. Ἢν [9]γυνὴ διὰ παλαιοῦ μὴ κυίσκηται, τῶν ἐπιμηνίων ἐμφαινομένων, ὁκόταν ᾖ τριταίη ἢ τεταρταίη, στυπτηρίην λείην τρίψας, διεὶς μύρῳ, εἰρίῳ ἀνασπογγίζων, προστίθει· καὶ ἐχέτω [10]κείμενον ἡμέρας τρεῖς· τῇ δὲ τρίτῃ ξύσας βοὸς χολὴν καὶ ἐν ῥάκει ἐπιθεὶς, διεὶς ἐλαίῳ τὸ ξύσμα [11]καὶ ἀναδεύσας, προστίθει· καὶ ἐχέτω ἡμέρας τρεῖς· τῇ δὲ ἑτέρῃ ἐξελέσθω καὶ τῷ ἀνδρὶ ξυνελθέτω. [12]Λίνον τὸ σχιστὸν αὐτῇ τῇ καλάμῃ ὅσον δραχμίδα κόψας λεπτὰ, καταβρέξας τε ἐν οἴνῳ λευκῷ ὡς ἡδίστῳ τὴν νύκτα, ἔπειτα ἀπηθήσας, χλιαίνων ἐν χυτριδίῳ, εἰρίον ὡς μαλθακώτατον ἐμβάπτων, τὸ μὲν

[1] Περὶ τῆς ἐκ τόκου γαστρορροούσης, ἢ καὶ ῥοῦν ἐχούσης θεραπεία in marg. θ. – ῥοῦς λαμβ. om. C. – μὴ om. DHIJK. – ἐμμένει D. – ἐμμείνῃ K. – χρὴ om. C. – τὰ ἴσω θ. – τρίψαντα vulg. – τρίψας C. – ἐριφίου C. — [2] ποιτίαν C. – πυτίην H. – πητύην K. – πίτυν GJ. – πίτην I. – μέλανι χρέο (χρῶ C) vulg. – μελανίχρεο (sic) θ. – Je lis μελανόχρῳ. – ἄλφυτα I. — [3] πυρρῶν IK. – φυρῶν, eadem manu πυρῶν G. – πεφωγμένα D. – ἐπιβαλὼν C. – ἐπιβάλλων vulg. – εὔκρατα θ. – ἄκρατα C. – πίνειν C. — [4] περὶ τῆς ἐκ τόκου αἷμα εμουσαν (sic) θ. – ἐμῇ Cθ. – Ante ἡ addit ταύτης C. – Foes soupçonne qu'au lieu de σύριγξ il faudrait lire ἔριξ, qui est dans le Gloss. de Galien. – πρὸς pro ἐς Cθ. – φοιτῇ C. – φοιτᾷ vulg. – καρδίαν CK. — [5] καὶ om. C. — [6] καὶ om. CHIJKθ. – ἢν pro ἂν θ. – ἐπιπίσκειν (sic) J. – ἐφ' C. – ἡμέραις J. — [7] πιπίσκειν J. – ἀσιτεύουσαν D. – ἐφ' C. — [8] τρίψαντα C, Vaticana exempl. ap. Foes. – τρίβοντα θ. – τριπτὸν vulg. – τριπτὴν D. — [9] δὲ pro γυνὴ Cθ. – περὶ τὴν ἐκ χρόνου μὴ κύουσαν in marg. θ. – καταμηνίων C. – φαινομένων C (θ, addit μὴ ante φ.). – ὅταν C. – ἢ pro ᾖ C. – Post τετ. addit ᾖ C. – λείαν C. – λίην θ. – μυρίῳ C. – ἰρίνῳ pro εἰρίῳ Lind. – ἐρίω C. – προστιθέτω θ. — [10] κ. om. CKθ. – τῇ.... τρεῖς om. K. – Ante ξύσας addunt ῥάκος Cθ. – χολῇ αὐη sine καὶ ἐν ῥ. ἐπιθεὶς θ. – αὖθις pro καὶ ἐν ῥ. ἐπιθεὶς C. — [11] καὶ om. Cθ. – πρόσθες Cθ. – ἐφ' (ἐπὶ θ) ἡμέρας C. – δ' C. – ἑτέρῃ ἐξελέσθω (ἐξελάσθω θ) καὶ (καὶ om. C) τῷ

51. (*Flux survenant après l'accouchement.*) Si un flux survient après l'accouchement, et que les aliments ne demeurent pas dans le ventre, pilez du raisin sec noir, le dedans d'une grenade douce et la présure d'un chevreau, trempez dans du vin noir, raclez du fromage de chèvre, jetez du gruau grillé de blé, mouillez convenablement, et faites boire.

52. (*Vomissement de sang après l'accouchement.*) Si la femme vomit du sang après l'accouchement, le conduit du foie est blessé; de la douleur est ressentie aux viscères et au cardia, et il y a des spasmes. On la lavera avec beaucoup d'eau chaude, on fera les applications chaudes qui conviennent le mieux; on donnera du lait d'ânesse pendant cinq jours; ensuite on fera boire, à jeun, du lait d'une vache noire pendant quarante jours; le soir, elle prendra du sésame pilé. La maladie est dangereuse.

53. (*Moyens préconisés pour préparer une femme à concevoir.*) Si une femme depuis longtemps ne devient pas enceinte, prenez, à l'époque des règles, le troisième ou le quatrième jour, de l'alun; pilez, mouillez avec du parfum, épongez avec de la laine et mettez en pessaire; elle gardera cela en place trois jours; le troisième, raclez de la bile de bœuf, mettez dans un linge, délayez dans l'huile ce qui a été raclé, pétrissez et mettez en pessaire; cela sera gardé trois jours; le troisième, la femme l'ôtera et s'unira à son mari. Prenez une poignée de lin fendu dans la paille même, broyez, trempez dans du vin blanc très-agréable pendant une nuit, passez, chauffez dans un pot, mouillez une laine très-molle et mettez en pessaire, ôtant

ἀνδρὶ συνέστω C (ξυνελθέτω Vaticana exempl. ap. Foes, Lind.) (θ, συνέτω sic). – ἑτέρῃ ἀνδρὶ ξυνελθέτω vulg. — [12] In tit. ὑστερέων νούσου πάσης CDθ; ὑστερέων νόσου κατὰ πάσης I; ὑστερέων πάσης νούσου θεραπευτικὸν Lind. – λῖνον HJ, Ald. – ταύτης τῆς καλάμης (C, καλάμου) vulg. – αὕτη ἡ καλάμη θ. – Lisez αὐτῇ τῇ καλάμῃ. – Voy. le Dict. de Schneider au mot λινοκαλάμη; il cite de Diodore, I, 60, καλάμην κείροντες ἐκ τῆς ὁμόρου χώρας καὶ ταύτην σχίζοντες, λίνα παραμήκη κατεσκεύαζον.... τὰς θήρας τῶν ὀρτύγων ἐποιοῦντο. – κόψασα ἑπτὰ pro κ. λεπτὰ C. – καταβρέξαι θ. – τε om. Cθ. – ἡδύστω C. – ἀπειθήσας θ. – ἐναπηθήσας C. – κυθριδίω θ. – ἔριον Cθ. – μαλακώτατον C. – ἀφαιρεῖν C.

προστιθέναι, τὸ δὲ ἀφαιρέειν. [1]Ἢν βούλῃ ὑστέρας καθῆραι, πρῶτον μὲν χρὴ ὑποθυμιῆσαι κριθὰς ἐλαίῳ δεδευμένας ἐπ' ἀνθράκων· τῇ [2]δὲ ὑστεραίῃ οἷος χρὴ κρέας ἕψειν, κυτριδίῳ ἐξηθριασμένον· τὸ δὲ [3]χυτρίδιον εἶναι ὅσον χοέα, καὶ καθεψεῖν σφόδρα· ἐπειδὰν [4]δὲ ἑφθὰ ᾖ, ἀκροχλίερα κατεσθιέτω, καὶ τὸν ζωμὸν ἐπιῤῥοφείτω· τῇ δ' ὑστεραίῃ λιβανωτὸν καὶ [5]γλήχωνα λεῖα ποιήσας, ἀναδεύσας μέλιτι, εἰρίῳ ἀνασπογγίζων, προστίθει ἐπὶ τρεῖς ἡμέρας.

54. Ἢν [6]δὲ ἐς τὴν ἕδρην τραπῶσι καὶ τὰ ὑποχωρήματα κωλύωσιν ὑποχωρέειν, ὀδύναι ἴσχουσι τήν τε ὀσφῦν καὶ τὴν νείαιραν γαστέρα καὶ τὰς ἰξύας. [7]Ὁκόταν ὧδε ἔχῃ, λούειν χρὴ αὐτὴν τῷ θερμῷ, καὶ πυριῆν τὴν ὀσφῦν, καὶ ὑποθυμιῆν τὰ κακώδεα, καὶ προστιθέναι [8]ὁκόσα καθαίρει τε καὶ ἐλαύνει τὰς ὑστέρας, καὶ πιπίσκειν ὅ τι ἂν μάλιστα προσδέχηται.

55. Ἢν [9]ἑλκωθῇ τὸ στόμα ἢ φλεγμήνῃ, σμύρναν, καὶ στέαρ χήνειον, καὶ κηρὸν λευκὸν, καὶ λιβανωτὸν ἐν λαγωοῦ θριξὶ τῇσιν ὑπὸ τὴν γαστέρα μίξας καὶ λεῖα ποιήσας ἐν εἰρίῳ ὡς μαλθακωτάτῳ προστιθέσθω.

56. Ἢν τὰ ὕστερα μὴ [10]δύνηται ἀποφυγεῖν, παραχρῆμα μὲν χρὴ ἀσιτέειν· ἄγνου δὲ πέταλα λεῖα τρίψαντα ἐν οἴνῳ καὶ μέλιτι, ἔλαιον ἐπιχέας, αναχλιήνας, δίδου πιεῖν ὅσον κοτύλην.

57. [11]Ἢν φλεγμήνωσιν αἱ ὑστέραι, τῆς ἀκτῆς τὰ φύλλα ὡς ἁπαλώτατα ἐν πυρῶν κρίμνοις ἑψήσας σητανίοις, ἀκροχλίερον δίδου ῥοφῆν.

[1] In tit. ὑστερέων καθαρτήριον CGHI. – βούλει H. – ὑστέραν C. – κριθῆς J. – ἐν (ἐν om. Cθ) ἐλ. vulg. – ἐπὶ C. — [2] δ' CDθ. – χρὴ οἷα (sic) κρέα ἕψειν C. – κριθιδίῳ vulg. – κριθώδιον C. – χυτριδίῳ J. – La leçon de J me paraît la véritable, sauf qu'il faut sans doute prendre la forme ionienne, ici conservée fortuitement : κυτριδίῳ. — [3] κριθίον vulg. – κριθίδιον θ, Lind. – κριθώδιον C. – χόεα GHIJK, Ald., Frob. – καθέψειν C. — [4] δὲ om. Cθ. – ἴσθι pro ᾖ C. – ἀκροχλίερα CDθ. – ἀκροχλίαρα vulg. – ἐπὶ ῥοφείτω θ. — [5] γλίχ. CHJ. – λεῖα C. – λία θ. – λεῖον vulg. – ἐρίω θ. — [6] δ' θ. – δὲ om. C. – περὶ τῆς εἰς τὴν ἕδραν τρεπομένης ὑστέρας, συμπτωμάτων τε καὶ θεράπεια in tit. C. – τραπεῖσαι pro τρ. καὶ C. – κωλύσωσιν θ. – ὑποχωρεῖν C. – ὀδῦναι G, Ald. – νειαίραν C. – νείεραν H. – νειαιρὴν Lind. – νιαιρὰν θ. — [7] ὅταν οὕτως C. – τῷ om. J. — [8] ὅσα C. – καθαίρεται καὶ θ. – γαστέρας pro ὑστ. C. – στερέας (sic) pro ὑστ. I. – ἢν pro ἂν θ. — [9] ἑλκωσθῇ C. – πρὸς ἕλκωσιν ἢ φλέγματος στομίου in marg. θ. – καὶ pro ἢ C. – ἢν pro ἢ J. – χήνιον θ. – χήειον (sic) C. – λαγῶ C. – λαγώησι θ. – ἐρίω C. – μαλακωτάτω C. — [10] φαίνηται C. – ἀποφύγειν θ. – ἀσιτεῖν C. – ἐπιχέας ἔλαιον θ. – ἀναχλιαίνων Cθ. – ἀναχλιάνας DGIJ,

tour à tour le pessaire et le remplaçant par un autre. Si vous voulez purger les matrices, d'abord faites une fumigation, sur des charbons, avec de l'orge trempée dans de l'huile ; le lendemain, faites cuire du mouton qui aura été exposé au serein dans un pot ; la contenance du pot doit être d'un conge (3[litres],24), et la cuisson très-forte ; le mouton étant cuit, la femme le mangera tiède et en boira le bouillon ; le lendemain, pilez de l'encens et du pouliot, pétrissez avec du miel, épongez avec de la laine que vous mettrez en pessaire ; laissez pendant trois jours.

54. (*Déplacement de la matrice vers le siége ; remèdes.*) Si les matrices se tournent vers le siége et empêchent la sortie des selles, des douleurs sont ressenties aux lombes, au bas-ventre et aux flancs. Les choses étant ainsi, on lavera la femme avec l'eau chaude, on dirigera un bain de vapeur sur les lombes ; on fera des fumigations fétides ; on appliquera les pessaires qui purgent et nettoient les matrices, et on donnera les boissons qui lui conviennent le mieux.

55. (*Ulcération ou inflammation de l'orifice utérin ; remèdes.*) Si l'orifice est ulcéré ou enflammé, prenez myrrhe, graisse d'oie, cire blanche et encens ; mêlez dans du poil de lièvre de dessous le ventre, broyez et appliquez en pessaire dans une laine très-molle.

56. (*L'arrière-faix ne sortant pas ; remèdes.*) Si les secondines ne peuvent pas sortir, il faut aussitôt prescrire l'abstinence ; puis broyez des feuilles d'agnus dans du vin et du miel, ajoutez de l'huile, faites chauffer et donnez à boire une cotyle.

57. (*Inflammation de la matrice ; remède.*) Si les matrices sont enflammées, faites cuire les feuilles les plus tendres du sureau dans de la farine de blé de deux mois, et donnez à prendre tiède.

Ald. – πίνειν C. – κοτύλιον θ. — [11] ἢν δὲ D. – φλεγμαίνωσιν C. – πυρρῶν GK. – κρίμνοις C, Lind. – κριμνοῖς vulg. – κρήμνοις HK. – κριθμοῖς, al. manu κριμνοῖς D. – σιτανίοις K. – σιτανείοις J. – ἀκροχλίαρον vulg. – ἀκροχλίερον CDθ. – ἀκροχλίαιρον HI. – ῥοφῆν J. – ῥοφεῖν vulg.

58. Ἢν [1]μετακινηθέωσιν αἱ μῆτραι, κισσὸν ὡς ξηρότατον τρίψας λεῖον, δήσας ἐς ὀθόνιον, [2]προσίσχειν· λιπαρὸν προσφέρειν μηδέν· πιεῖν δὲ διδόναι πυροὺς προκωνίας, καὶ μήκωνα [3]ὀπτὴν, καὶ ἐλελίσφακον, καὶ κύπερον, καὶ ἄνισον, ταῦτα τρίψας λεῖα, διεὶς οἴνῳ, καὶ τῶν κυρηδίων τῶν ἀπὸ τῶν κριθῶν, διδόναι δὶς τῆς ἡμέρης ἐφ' ἑκάτερον ἡμικοτύλιον.

59. Ἢν τὰ ἐπιμήνια μὴ [4]γίνηται ἐν τῷ καθεστηκότι χρόνῳ, κράμβης πέταλα καὶ πήγανον τρίψας λεῖα, ἔπειτα ἄχυρα τὰ ἀπὸ τῶν κριθῶν ὅσον χοίνικα βρέξας ὡς ἂν τέγγηται, ἐξαιθρίασον· ἕωθεν δὲ [5]ποιήσας ὅσον κοτύλην, διεῖναι τὴν κράμβην καὶ τὸ πήγανον, ἔλαιον ἐπιχέας καὶ ἀναταράξας, δοῦναι πιεῖν· ἔπειτα πουλύποδα πνίξας ἐν οἴνῳ λευκῷ, δὸς φαγεῖν, καὶ τὸν οἶνον ἐκπιεῖν· ἢν δὲ βούλῃ, τῶν ἰχθυδίων ἑψῶν τῶν εὐωνοτάτων διδόναι ἐσθίειν καὶ τὸν ζωμὸν ῥοφάνειν.

60. Ἢν ἀφθήσῃ τὰ αἰδοῖα, [6]μύρτα ἑψήσας ἐν οἴνῳ, διακλυζέσθω τὰ αἰδοῖα· ἔπειτα ῥοιῆς γλυκείης σίδια ἑψήσας ἐν οἴνῳ, καὶ σμύρνης καὶ ῥητίνης ὁμοῦ μίξας, διεὶς οἴνῳ, ὀθόνιον ἐμβάπτων, προστιθέναι.

61. Ἢν στραγγουρίη λάβῃ, τῆς [7]σικύης ἀποταμὼν τὸ στόμα καὶ τὸν πυθμένα, ὑποθεὶς ἀνθρακίην, [8]περίθες τῇ σικύῃ, τῆς [9]σμύρνης ξηρᾶς κεκομμένης ἐπὶ τὸ πῦρ ἐπιπάσας, περικαθίσας [10]ἐπὶ τὴν σικύην, καὶ ἐνθέσθω ἐς τὸ αἰδοῖον τὸ ἄκρον τῆς σικύης ὡς ἐσωτάτω,

[1] Μετακινηθῶσιν vulg. – μετακινηθέωσιν DHIJKθ. – τρίψας καὶ (καὶ om. Cθ) λειότατον (λεῖον C; λίον θ) vulg. – εἰς C. — [2] προσ. λιπαρὸν καὶ (καὶ om. C) (καὶ λιπαρὸν Lind.) προσφέρειν ἄλλο (ἄλλο om. Cθ) μηδὲν (ἄλλο δὲ μηδὲν Lind.) vulg. – πίνειν θ. – πυρροὺς GHIK. – πρόκονας C. — [3] λευκὴν Foes in not., Lind. – κύπειρον D. – κύπαιρον I. – κύπεριν (sic) J. – ἄνισον CDHJ. – ἄνησον K. – ἄννησον vulg. – ἄννησσον θ. – λία θ. – κηρυδίων D. – κυριδίων J. – καρυδίων L. – κυδηρίων θ. – ἡμέρας C. — [4] γίγν. C. – καιρῷ H. – λία θ. – ἔπειτεν C. – τὰ C. – τὰ om. vulg. – κριμνῶν pro κριθῶν C. – βρέγξας C. – κατέγγηται (sic) pro τέγγ. C. – ἐξωθρίασον FG. – ἐξεθρίασον J. — [5] πυριήσας DH. – διειέναι θ. – δεῖ εἶναι C. – πηγάνιον D. – πηγάνινον H. – ἔλαιον αὐτοῖς (αὐτοῖς om. θ) vulg. – καὶ om. Cθ. – ἔπειτεν C. – ἔπειτα.... ἐκπιεῖν om., restit. al. manu D. – πολύπουν C. – πουλύποδας J. – καταφαγεῖν sine δὸς Cθ. – βούλει H. – ἰχθυδίων Cθ. – ἰχθύων vulg. – εὐωδεστάτων vulg. – ἑωδοτάτων (sic) C. – εὐωνοτάτων θ. – Peut-être faut-il lire εὐζωμοτάτων. – καὶ τῶν ζώμων D. – ῥυμφάνειν DGHIJK, Ald. — [6] μύρου C. – μύρα GHIK, Ald. – μῦρα J. – τὰ αἰδοῖα CHIJKθ. – τὰ om. vulg. – Post αἰδ. addit τῷ οἴνῳ C. – ἔπειτεν

58. (*Déplacement de la matrice; remède.*) Si les matrices sont déplacées, prenez du lierre très-sec, broyez, attachez dans un linge et appliquez; n'administrez rien de gras; donnez à boire du blé en épis vert, du pavot grillé, de la sauge, du cypérus, de l'anis; pilez bien et trempez dans du vin; prenez encore de la balle d'orge, et donnez de chaque une demi-cotyle deux fois par jour.

59. (*Suppression des menstrues; remèdes.*) Si les règles ne viennent pas au temps réglé, pilez des feuilles de chou et de la rue, puis mouillez une chénice (1[litre],08) de paille d'orge jusqu'à ce qu'elle soit humectée, exposez au serein; le matin, préparez de cela une cotyle, mouillez-en le chou et la rue, versez de l'huile, remuez et donnez à boire; puis étouffez des poulpes dans du vin blanc et faites manger; la femme boira le vin. Si vous voulez, on fera cuire de petits poissons à bas prix qu'elle mangera et dont elle boira le bouillon.

60. (*Aphthes des parties génitales; remèdes.*) Si les parties génitales sont aphtheuses, on fera cuire des baies de myrte dans du vin, et les parties génitales seront lavées avec cette décoction; puis on fera cuire de l'écorce de grenade douce dans du vin, on y mêlera de la myrrhe et de la résine, on mouillera avec du vin, on y trempera un linge qu'on appliquera.

61. (*Strangurie; remèdes.*) S'il y a strangurie, coupez la tête et le fond d'une courge, mettez dessous un réchaud à charbon, sur le feu jetez de la myrrhe sèche pulvérisée; la femme s'assoira sur la courge et fera entrer très-avant dans les parties génitales le bout de la courge, afin que les parties

C. – ἔπειτα.... ῥητίνης om., restit. al. manu D. – ῥοίης θ. – γλυκῆς C. – προστίθει C. — [7] συκίης C. – ὑποθεὶς C, Lind. – ἐπιθεὶς vulg. – ἀνθρακίη K. — [8] περιθεὶς C. – τῇ σικύῃ DFGHIJKθ. – τὴν σικύην vulg. — [9] μυρσίνης pro σμ. DHIK, Ald. – ξηρᾶς κεκομμένης Cθ, Vaticana exemplaria ap. Foes. – ξ. κεκ. om. vulg. – ἐ. τὸ πῦρ om. (D, al. manu ἐπὶ πῦρ) GHIJK. – ἐπιπάσας Cθ. – ἐπιπάσσας vulg. – καὶ (καὶ om. C, D restit. al. manu, GHIJK, Ald.) περικαθίσας vulg. — [10] περὶ Cθ, Vaticana exempl. ap. Foes. – ἐς τὸ αἰδ. om. (D, restit. al. manu) GHIJK.

ὅκως ἂν ἡ ἀτμὶς ὡς [1]πλείστη ἐς τὰ αἰδοῖα ἀποπέμπηται· καὶ τῶν οὐρητικῶν ποτημάτων διδόναι νήστει.

62. Ἢν [2]δὲ ἐς τὴν καρδίην προσιστάμεναι πνίγωσιν αἱ ὑστέραι καὶ μὴ ἀφιστῶνται, πράσου καρπὸν τρίψας καὶ γλήχωνα, διεὶς ὕδατος κυάθοις τρισὶ καὶ ὄξεος λευκοῦ κυάθῳ καὶ μέλιτος τρίτῳ μέρει [3]κυάθου, χλιαίνων, νήστει δίδου ῥοφάνειν.

63. Ἢν ἐκ τόκου ἢ τρωσμοῦ ῥῖγος [4]λαμβάνῃ, ἀρκεύθου τὸν καρπὸν καὶ ἐλελίσφακον ὁμοῦ τρίψας, διεὶς ὄξεος λευκοῦ κυάθῳ, ἐπιχέας οἴνου λευκοῦ κεκρημένου κύλικα, καταμίξας, ἔασον κεῖσθαι· ἕωθεν δὲ ἀπηθήσας, χλιήνας, πιεῖν δίδου.

64. Ἢν [5]ἀνεμωθέωσιν αἱ μῆτραι, ἢν ἄνεμος ἐγγένηται τῇ νηδύϊ, καὶ πόνος ᾖ, ἐλελίσφακον καὶ κύπερον κόψας, τέγξας τὴν νύκτα, ἕωθεν ἀπηθήσας, τὸ καθαρὸν ἐς χύτρην ἐγχέας, κρίμνα πύρινα ἐμβαλὼν, ὄξος λευκὸν ὅσον κύαθον ἐπιχέας, ὀπὸν σιλφίου ὅσον κύαμον ἐμβαλὼν, ἑψήσας ἐνωμότερον, δίδου ῥοφάνειν.

65. [6]Ἢν ἐν τοῖσιν αἰδοίοισι [7]δυσοδμίη ἢ χίων ἐγγένηται καὶ ὀδύνη ἔχῃ, τὴν μὲν ὀδύνην παύσει σελίνου καρπὸς ἐν οἴνῳ διδόμενος νήστει, τὴν δὲ δυσοδμίην ἄνισον τὸν αὐτὸν τρόπον διδόμενον· τὸν δὲ χίονα χρὴ ἀποτάμνειν.

[1] Πλειοτάτη C. – παρεύηται C. – ἀπαγεύηται θ. – διδόναι ποτ. C. – νηστίδι Cθ. — [2] δὲ om. Cθ. – πρὸς θ. – καρδίαν vulg. – καρδίην CDHθ. – προϊστάμεναι vulg. – προσιστάμεναι CDθ, Lind. – πνιγῶσιν Cθ. – ἀπιστῶνται C. – γλήχωνα θ. – γλίχωνα C. – γλίχωνος HJ. – γλήχωνος vulg. – ὄξους C. — [3] κυάθω θ. – χλιένων θ. – νήστι (sic) θ. – νηστίδι C. – ῥομφάνειν Cθ. – ῥυμφάνειν DHIJK, Ald. — [4] λάβῃ C. – ἀρκέθου C. – ἐλελίσφακον C, Lind. – ἐλελισφάκου vulg. – διεὶς Cθ. – δίει vulg. – ἐς ὄξους (ὄξος DHIJ) λευκοῦ κύαθον (κυάθου DGHIJ, Ald.) vulg. – ὄξους (ὄξεος θ) λ. κυάθω C (θ, σκυάθω sic). – ἐπιχέας τε (τε om. Cθ) ἐπὶ (ἐπὶ om. θ) οἴνου vulg. – κεχραμμένου C. – καταμίξας C. – κατελίξας vulg. – καθελίξας D. – ἔασον om. Cθ. – θεῖναι pro κεῖσθαι C. – δὲ om. C. – ἀπειθήσας θ. – χλιήνας τε F. – χλιάνας τε DHIJK. – χλιήνας.... ἀπηθήσας om. G. – δίδου πιεῖν DHK. – δοῦναι Cθ. — [5] ἀνεμέωσιν vulg. – ἀνεμωθέωσιν C, Lind. – ἀνεμεθέωσιν (sic) θ. – καὶ (καὶ om. Cθ) ἣν (ἣν δ' C) ἄνεμος vulg. – μήτρῃ pro νηδύϊ legit Foes ex libro II de Morb. Mul. – ἐνῇ C. – ἢ pro ᾖ Ald. – ἐστὶ pro ᾖ DFHIJK. – πρὸς τὰς ἐνπνευματουμένας μήτρας in marg. θ. – κύπαιρον CIθ. – κύπειρον D. – τέγξας C. – τέγξαι vulg. – τὴν νύκτα πᾶσαν DFHIJK. – ἕωθεν δὲ DFHIJK. – ἀπειθήσας θ. – εἰς vulg. – ἐς CDHJ. – χύτραν C. – κρύμνα C. – πύρρινα GHIK. – καὶ (καὶ om. C) ὄξος vulg. – ὄξος.... ἐμβαλὼν om. K. – [καὶ] ὀπὸν Lind. – κύαμον Cθ, Lind. – κύαθον pro κύαμον vulg. – καὶ (καὶ om. Cθ) ἑψήσας vulg. – ῥομφάνειν Cθ. – ῥυμφάνειν DGHIJK, Ald. — [6] πρὸς τὴν ἐν τῷ αἰδοίῳ δυστομίην (sic) καὶ ὀδύνην in marg. θ. – τοῖς

reçoivent le plus possible de vapeur (des Lieux dans l'homme, § 47). On lui fera prendre, à jeun, des boissons diurétiques.

62. (*Hystérie; remèdes.*) Si les matrices, se portant au cœur, suffoquent et ne lâchent pas prise, pilez de la graine de porreau et du pouillot; mouillez avec trois cyathes d'eau, un cyathe de vinaigre blanc et un tiers de cyathe de miel; chauffez et faites prendre à jeun.

63. (*Frisson survenant après l'accouchement; remède.*) Si du frisson survient à la suite de l'accouchement ou de l'avortement, pilez ensemble la graine de genièvre et la sauge, mouillez avec un cyathe (0litre,045) de vinaigre blanc, versez une tasse de vin blanc coupé, mélangez et laissez reposer; le matin, passez, chauffez et donnez à boire.

64. (*Air dans la matrice; remède.*) Matrices se remplissant de vent : lorsque du vent se développe dans la matrice et qu'il y a douleur, pilez de la sauge et du cyperus, laissez tremper pendant la nuit, filtrez le matin, versez dans un pot ce qui a passé, jetez du gruau de blé, ajoutez un cyathe de vinaigre blanc, mettez gros comme une fève de suc de silphium, faites peu cuire et donnez à boire.

65. (*Mauvaise odeur aux parties génitales et végétation; résection de la végétation.*) Si de la mauvaise odeur survient aux parties génitales, ou s'il s'y forme une végétation et qu'il y ait douleur, la douleur sera apaisée par la graine de persil donnée dans du vin, à jeun, la mauvaise odeur par l'anis donné de la même façon; la végétation doit être excisée.

vulg. – τοῖσιν C. – αἰδοίοις DHIK, Ald. — [7] δυσοσμίη vulg. – δυσοδμίη CJK. – δυστομίη θ. – ἢ (ἤ C) καὶ (καὶ om. C) κίων (κακίων θ) vulg. – Pour κίων la glosse de Galien est : κίων, τὸ ἐκ τῶν θηριδίων ἄθροισμα τῶν τὸν σῖτον διαβιβρωσκόντων, ὧν ἕκαστον κίων ὀνομάζεται· ἐπὶ τελευτῆς τοῦ δευτέρου τῶν γυναικείων. Cette glose ne va pas à notre passage; κίων signifie ici une végétation puisqu'il est dit qu'il faut la couper. – ἴσχη C. – τῆς μὲν ὀδύνης Cθ. – παύει D. – παύσης σελίνου καρπὸν δοὺς πιεῖν νῆστι C. – νήστι θ. – τῆς δὲ δυσοδμίης C (θ, δυστομίης). – δυσοσμίην vulg. – δυσοδμίην K. – ἄννησον vulg. – ἄννησσον θ. – ἄνισον CDHJ. – ἄνησον GK, Ald., Frob. – δίδου Cθ. – ἀποτέμνειν C.

66. Ἢν ἕλκεα ἐγγένηται [1] τοῖσιν αἰδοίοισι καὶ ξυσμὸς λαμβάνῃ, ἐλαίης φύλλα καὶ κισσοῦ καὶ βάτου καὶ ῥοιῆς γλυκείης τρίψας λεῖα, οἴνῳ παλαιῷ διεὶς, ἔπειτα λαβὼν σάρκα ποταινίην, προσθεῖναι, καὶ καταπλάσαι τοῖσι φύλλοισι, καὶ ἐχέτω τὴν νύκτα· [2] ἕωθεν δὲ ἐξελομένη, μυρσίνην ἐν οἴνῳ ἀφεψοῦσα, τῷ οἴνῳ διακλυζέσθω τὰ αἰδοῖα.

67. Ἢν τὴν γονὴν μὴ δέχηται, τῶν γυναικείων κατὰ φύσιν [3] γινομένων, ἡ μῆνιγξ ἐπίπροσθεν γίνεται· γίνεται δὲ τόδε καὶ ἐξ ἄλλων· [4] γνώσῃ δὲ τῷδε· ἢν ἐσαφάσσῃς τῷ δακτύλῳ, ἅψῃ τοῦ προβλήματος. [5] Ταύτῃ χρὴ πρόσθεμα ποιήσαντα, ῥητίνην καὶ ἄνθος χαλκοῦ μέλιτι διεὶς, ὀθόνιον ἀρδαλώσας, [6] προσθεῖναι ὡς ἐσωτάτω, ῥάμμα ἐκδήσας ἐκ τοῦ ἄκρου· ὁκόταν ἐξαγάγηται, τὴν μυρσίνην ἐν οἴνῳ ἀφεψῶν, τῷ οἴνῳ χλιερῷ κλυζέσθω.

68. [7] Ἢν ἄσθματα λαμβάνῃ γυναῖκα, θείου ὅσον κύαμον, καὶ καρδαμώμου τὸ ἴσον, καὶ πήγανον, καὶ [8] κυμίνου Αἰθιοπικοῦ, ταῦτα τρίψας λεῖα, διεὶς οἴνῳ, πίνειν δοῦναι νήστει· δεῖ δὲ καὶ τῶν σιτίων ἀπέχεσθαι καὶ μὴ πυκνὰ ἐσθίειν.

69. [9] Ἢν τίκτουσα ἐξανεμωθῇ, ἧπαρ οἰὸς ἢ αἰγὸς ἐς τέφρην ἐγκρύψας, διδόναι ἐσθίειν ζωρότερον ἐπὶ τέσσαρας ἡμέρας, καὶ οἶνον πινέτω παλαιόν.

70. Ἢν τὰς ἰξύας ἀλγέῃ, [10] ἄνισον καὶ κύμινον Αἰθιοπικὸν πινέτω, καὶ θερμῷ λουέσθω, καὶ ἀπὸ θερμοῦ πινέτω.

[1] Ἐν (ἐν om. C) τοῖσιν vulg. – κνησμὸς DH. – ἐλαίης om., restit. al. manu H. – καὶ βάτου καὶ κισσοῦ Cθ. – λεῖα C (θ, λία), Vaticana exempl. ap. Foes. – λεῖα om. vulg. – ἐν οἴνῳ τε διεὶς π. vulg. – οἴνω π. διεὶς Cθ. – ποταμίην C. – καταπλάσας C. – καταπλάσσαι D. – καταπλᾶσαι Ald., Frob. – τοῖς Cθ. – φύλλοις C. — [2] ἕτερον δ' ἐξελόμενος C. – ἐν om. D. – ἀφέψουσαν C. – ἐναφέψουσα D. – διακλύζεσθαι C. — [3] γιγ. C. – ἐπίπροσθεν (ἐπίπροσθε θ) τούτου (τούτου om. C; τοῦ τούτου θ) (τοῦ στόματος sine τούτου Lind.) γίνεται (γίγν. C) vulg. – τόδε C. – τόδε om. vulg. — [4] γ. δὲ τ. om. C. – γνώσει θ. – τῶδε Jθ, Lind. – τόδε vulg. – ἐσαφάσσῃ J. – ἐσαφάσῃ C. – ἐσαφάσῃς HI. – ἂς ἀφάσσῃς (sic) θ. – γὰρ τῷ IJK. – ὄψει θ. — [5] ταύτῃ CDIJKQ'θ, Lind. – ταῦτα vulg. – δὲ χρὴ DQ. – προσθέματα θ. – πρόσθεσμα (sic) C. – πρόθεμα DGHIJK. — [6] πρόσθες ἅμα (ῥάμμα θ) ἐκδήσας ἐκ (ἀπὸ θ) τοῦ ἄκρου ὡς ἐσώτατα C (θ, ἐσωτάτω). – ἐσώτατα K. – ἐνδήσας ἀπὸ vulg. – Post ἄκρου addit ὡς ἐσωτάτω al. manu H. – ὁκόταν (ὅταν C, Vaticana exempl. ap. Foes) γοῦν (γοῦν om. Cθ, Vaticana exempl.) ἐξάλληται (ἐξάληται GIJK; ἐξαγάγηται C) vulg. – ἀπέψων C. – χλιερῶ Cθ. – χλιηρῷ vulg. — [7] ἢ (sic) γυναῖκα ἄσθ. λ. C. – θίου θ. – καρδαμώμου Cθ. – καρδάμου vulg. – ῥέον pro ἴσον θ. – πηγάνου Cθ. — [8] κιμίνου C. – λία θ. – καὶ (καὶ om. Cθ) διεὶς ἐν (ἐν om. Cθ) οἴνῳ vulg. – πιεῖν C. –

66. (*Ulcérations aux parties génitales ; remède.*) Si des ulcérations se forment dans les parties génitales et qu'il y ait démangeaison, pilez des feuilles d'olivier, de lierre, de ronce et de grenadier doux, mouillez avec du vin vieux, puis prenez de la chair fraîche, mettez-la en pessaire, et faites un cataplasme des feuilles, que vous laisserez pendant la nuit ; la femme ôtera tout cela le matin, et, faisant bouillir du myrte dans du vin, elle se lavera les parties génitales avec cette décoction.

67. (*Sperme non reçu ; obstacle venant d'une membrane ; remède.*) Si la semence n'est pas reçue, bien que les règles aillent naturellement, l'obstacle vient de la membrane placée en devant ; il tient aussi à d'autres causes. Vous vous en assurerez ainsi : introduisant le doigt, vous toucherez l'obstacle. Vous composerez un pessaire de la sorte : résine, fleur de cuivre, mouillez avec du miel, barbouillez un linge avec cette composition et introduisez-le aussi avant que possible, ayant attaché un fil à l'extrémité ; quand il est retiré, la femme se lave avec une décoction tiède de myrte dans du vin.

68. (*Dyspnée hystérique ; remède.*) Si la femme est prise de gêne dans la respiration, broyez gros comme une fève de soufre, autant de cardamome, de la rue, du cumin d'Éthiopie, mouillez avec du vin et donnez à boire à jeun ; il faut s'abstenir d'aliments et ne pas manger souvent.

69. (*Météorisme dans l'accouchement ; remède.*) Si une femme accouchant est prise de météorisme, mettez sous la cendre un foie de mouton ou de chèvre ; elle le mangera chaud pendant quatre jours et boira du vin vieux.

70. (*Douleur dans les lombes ; remède.*) Si elle souffre dans les lombes, elle boira de l'anis et du cumin d'Éthiopie, se lavera à l'eau chaude et boira après le bain.

δοῦναι πίνειν D. – νῆστι C. – νήστιδι θ. – δεῖ δὲ om. Cθ. – ἐσθιέτω C. — [9] πρὸς τὴν ἐν τῷ τόκῳ ἐνπνευματουμένην in marg. θ. – ἐγκαύσας C. – τέσσερές (sic) θ. – καὶ οἶνον ζωρότερον πινέτω παλαιὸν Lind. – Foes recommande en effet de rapporter ζωρότερον à οἶνον. — [10] ἄννησον vulg. – ἄννησσον θ. – ἄνισον CDJ. – ἄνησον K. – καὶ θερμῷ λ., κ. ἀ. θ. π. om. G. – λούσθω θ. – ἀπόθερμον vulg. – ἀπὸ θερμοῦ DFHIJK. – ἀπὸ θερμῶν Cθ.

71. Ἢν τὰ [1]ἐπιμήνια μὴ γίνηται, ὄστρακον παχὺ κατακαύσας, καὶ λεῖον τρίψας, καὶ ὀρίγανον ἑψήσας, ἐν χηνὸς ἐλαίῳ λεῖον ποιήσας, καὶ ξυμμίξας τῷ ὀστράκῳ, ἐν ὀθονίῳ χλιερὸν προστιθέσθω.

72. Ἢν [2]ξυμμύσωσιν αἱ μῆτραι καὶ τὰ ἐπιμήνια μὴ φαίνηται, κολοκυνθίδα ἀγρίην, καὶ φύλλον, κύμινον Αἰθιοπικὸν, νίτρον, ἅλας θηβαϊκὸν, καὶ νεφρίδιον, καὶ ἄλευρον, καὶ σμύρναν, καὶ ῥητίνην, ἅπαντα ζέσας ταῦτα, ὁμοῦ τε μίξας λεῖα, ποιέων βάλανον, προστιθέσθω.

73. Ἢν πρὸς τὰ σπλάγχνα τραπεῖσαι [3]πνίγωσιν, οἶνον κέδρινον καὶ κύμινον Αἰθιοπικὸν πινέτω, καὶ θερμῷ λουέσθω, καὶ ἀπὸ θερμῶν πινέτω.

74. Ἢν τὰ ἐπιμήνια μὴ [4]γίνηται, χηνὸς ἔλαιον καὶ νέτωπον καὶ ῥητίνην ξυμμίσγουσα ἡ γυνὴ προστιθέσθω, εἰρίῳ ἀνασπογγίζουσα. [5]Ἢν δὲ μᾶλλον τοῦ προσήκοντος φαίνηται, σούσινον καὶ βάτου γλῶσσαν ἐν εἰρίῳ προστιθέσθω.

teur y voit un produit de la conception.) J'ai observé une semence qui avait séjourné six jours dans l'utérus, et qui tomba au dehors; d'après ce qui a été dit ci-dessus, je détermine du reste quelle elle m'apparut alors. Je vais expliquer comment je vis une semence de six jours. Chez une femme de ma connaissance était une baladine fort estimée, qui avait commerce avec les hommes, et qui ne devait pas devenir grosse, afin de ne pas perdre de son prix. Cette baladine avait entendu ce que les femmes disent entre elles, à savoir que, quand une femme conçoit, la semence ne sort pas, mais demeure dedans. Ayant entendu ces dires, elle les comprit et retint. Un jour elle s'aperçut que la semence ne sortait pas; elle le dit à sa maîtresse, et le bruit en vint jusqu'à moi. Ainsi informé, je lui ordonnai de sauter de manière que les talons touchassent les fesses (*voy. note* 5); elle avait déjà sauté sept fois lorsque la semence tomba à terre en faisant du bruit. A cette vue, la femme fut saisie d'étonnement. Je vais dire comment était ce produit : il ressemblait à un œuf cru dont on aurait ôté la coquille extérieure, et dont le liquide intérieur serait transparent dans la membrane interne. Voilà, pour le dire en un mot, comment il se présentait. Il était, de plus, rouge et arrondi; dans la membrane se voyaient des fibres blanches et épaisses, enchevêtrées dans une humeur épaisse et rouge; autour de la membrane, en dehors, étaient des caillots de sang; au milieu de la membrane se détachait quelque chose de mince qui me parut être l'ombilic, et procurer tout abord au produit la

de Sperm. — [7] ὀχοίη ΚΟπ. - ὀχοίην (H, al. manu; erat prius ὀχοῖον) ε. - δ' Cεξ. - περιέλοιεν CEFGHIJKOξ. Ald., Frob., Zwing., Lind., Mack. - ἐν om. C. - On voit que C a la bonne leçon, ayant seulement uni en un seul mot περιέλοι et ἐν. Les autres ont répété la syllabe εν. — [8] δὲ C (H, al. manu) Oεξ. - δὲ om. vulg. - τὸ pro τῷ ξ. - τὸ ἔσω ὑγρὸν ε. - τὸν ἔνδον ὑγρὸν C. - διαφαίνετο Gal. in cit. de Sperm. — [9] ὁ K. - ὁ om. vulg. - ἄλλις ε. — [10] δὲ om. ε. - στρογγῦλον E. - ἐφαίνετο J. - τινὲς ἶνες ε. - ἶνες τινὲς Zwing. in marg. - ἶνες Hξ. - εἰλημμένα om. Cξ. - αἱμώλωπες G. - οἱμώλωπες Cξ. — [11] τὸ E (H, al. manu) KOε. - τὸ om. vulg. - μέσου G. - ὑμενέος CFGJ. - ἐμοὶ ε. - ἐδώκεεν Frob., Zwing. — [12] ὑμῖν pro ὑμὴν C. - Post ἅπας addunt ὁ E (H, al. manu) Oεπ, Zwing., Lind. - περιέχον C.

ἐκείνου ἐτέτατο ἅπας περιέχων τὴν γονήν. [1]Τοιαύτην μὲν ἐγὼ εἶδον ἐκταίην οὖσαν τὴν γονήν. Ἐρέω δὲ καὶ ἄλλην διάγνωσιν ὀλίγον ἐπὶ τούτῳ ὕστερον, ἐμφανέα παντὶ τῷ βουλομένῳ εἰδέναι τούτου πέρι, καὶ ἱστόριον παντὶ τῷ ἐμῷ λόγῳ, ὅτι ἐστὶν ἀληθὴς, ὡς εἰπεῖν ἄνθρωπον περὶ τοιούτου πράγματος. Καὶ ταῦτα [2]μὲν ἐς τοῦτό μοι εἰρηται.

14. Ὅτι δὲ ἡ γονὴ ἐν ὑμένι ἐστὶ, καὶ πνοὴν ἔχει καὶ εἴσω καὶ ἔξω, καὶ αὔξεται [3]ὑπὸ τῆς μητρὸς τοῦ αἵματος κατιόντος ἐπὶ τὰς μήτρας· τὰ γὰρ καταμήνια οὐ χωρέει, ὁκόταν γυνὴ λάβῃ πρὸς ἑωυτὴν, ἣν μέλλῃ τὸ παιδίον ὑγιαίνειν, εἰ μὴ ἔστιν ᾗσιν ἐπισημαίνει τὸν πρῶτον [4]μῆνα ὁκόσον ὀλίγον· ἀλλὰ κατιὸν τὸ αἷμα ἀπὸ παντὸς τοῦ σώματος τῆς γυναικὸς κυκλόσε περιίσταται περὶ τὸν ὑμένα ἔξω. Ἅμα δὲ τῇ [5]πνοῇ ἑλκομένου εἴσω τοῦ αἵματος διὰ τοῦ ὑμένος, κατὰ τὸ τετρημένον καὶ ἀπέχον συμπήγνυται καὶ αὔξει τὸ μέλλον ζῶον ἔσεσθαι. Ὁκόταν δὲ χρόνος [6]ἐγγένηται, αὖθις ἕτεροι ὑμένες εἴσω τοῦ πρώτου ὑμένος λεπτοὶ περιτείνονται πολλοὶ, τρόπῳ [7]τοιούτῳ οἵῳ καὶ ὁ πρῶτος ὑμὴν ἐγένετο· τεταμένοι δέ εἰσι καὶ οὗτοι ἀπὸ τοῦ ὀμφαλοῦ, καὶ [8]ἐς ἀλλήλους διαδέσμους ἔχουσιν.

15. Ὁκόταν δὲ ἤδη τοῦτο γένηται, κατιόντος τοῦ αἵματος ἀπὸ τῆς μητρὸς καὶ πηγνυμένου, σὰρξ γίνεται· κατὰ δὲ μέσον τῆς σαρκὸς [9]ὁ ὀμφαλὸς ἀπέχει, δι' οὗ πνέει καὶ τὴν αὔξησιν ἴσχει. Ἡ δὲ γυνὴ ὁκόταν ἐν γαστρὶ ἔχῃ, ὑπὸ τῶν καταμηνίων μὴ χωρεόντων διὰ τόδε οὐ πονέεται ὅτι τὸ αἷμα οὐ ταράσσεται, [10]βύζην ἀπιὸν κατὰ

[1] Τοιαῦτα O. – τοιαύτην.... γονὴν om. Gε. – ἐοῦσαν Zwing. – δὲ om., restit. al. manu F. – ὀλίγον om. C (F, al. manu ὀλίγω) ξ. – ὀλίγον post τούτῳ Eπ. – ἐν ὀλίγω τούτω G, Ald. – ἐν pro ἐπὶ CEFHIJKOεξπ, Zwing. – ἐμφανέα CEFGHIJKLOP'Q'εξ, Zwing. in marg. – ἐκφανέα vulg. – ἄνθρωπον (H, al. manu) Kε, Lind. – ἄνθρωπος vulg. — [2] μέν μοι εἰς τοῦτο C. – δὲ om. Lind. – En faisant cette suppression, Linden ôte le point après εἴρηται, dont ὅτι ἡ γονὴ κτλ. devient alors le complément. Mais, dans ce traité, les mots : καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται sont une phrase toute faite qui n'a rien après soi et dont l'auteur se sert pour passer à autre chose. J'aime donc mieux considérer ὅτι δὲ ἡ γονὴ κτλ comme une phrase suspendue où manque l'*apodose*. – ἐνυμένη pro ἐν ὑμένι J. — [3] ἀπὸ C. – ὑπὸ pro ἐπὶ (H, al. manu) K. — [4] μῆνα om. C. — [5] πνοιῇ C. – τετρημμένον ε. – τετριμμένον HJO, Ald. — [6] ἐγγίνηται EX. – αὖτις C. – λεπτοὶ περιτείνονται πολλοὶ Cξ. – λεπτοὶ καὶ πολλοὶ περιτείνονται vulg. — [7] τοιῷδε E. – ᾧ pro οἵῳ Cξ. – ὑμῖν pro ὑμὴν C. – δ' εἰσὶ ξ. – ἐκ pro ἀπὸ Cξ. — [8] εἰς Cξ. – διαδεσίμους C. – δ' Cξ. – μήτρης δ. – γίγνεται C. — [9] ὁ om. C. – αὔξιν C. – C'est-à-dire

respiration en dedans et en dehors. A partir de là, s'étendait la membrane enveloppant entièrement la semence. Telle je vis la semence du sixième jour. Tout à l'heure j'exposerai un raisonnement vérifiable pour quiconque veut s'instruire de ces choses, et prouvant que tout mon discours est vrai autant que peut l'être celui d'un homme touchant pareille matière. Voilà ce que j'avais à dire là-dessus.

14. (*Nutrition du produit par le sang de la mère. Formation des autres membranes.*) Quant à la semence, qui est dans une membrane, et qui a respiration en dedans et en dehors, elle croît par le sang de la mère descendant aux matrices. En effet, les règles ne coulent pas, quand la femme est enceinte; si l'enfant doit se bien porter; à peine est-il quelques femmes chez qui, le premier mois, il paraît quelque chose. Donc le sang, descendant de tout le corps de la femme, se range circulairement autour de la membrane en dehors. Attiré, en même temps que la respiration, en dedans à travers la membrane, il se coagule à l'endroit qui est perforé et détaché, et accroît le futur animal. Avec le temps, d'autres membranes ténues et nombreuses s'étendent en dedans de la première, par le même procédé que la première s'est formée; elles sont étendues, elles aussi, à partir de l'ombilic, et ont des connexions entre elles.

15. (*Fonction de l'ombilic, par où s'opèrent la respiration et la nutrition. Dans la grossesse la suppression des règles ne cause aucun mal.*) Cela étant fait, le sang descendant de la mère et se coagulant, la chair se forme. Au milieu de la chair se détache l'ombilic, par où s'opèrent la respiration et l'accroissement. La femme enceinte ne souffre pas, bien que les règles ne coulent point; c'est que le sang ne s'agite pas comme quand il sortait à flot lors de chaque époque mensuelle; mais il coule

αὔξην. – ὑπονέεται pro οὐ πονέεται O. — [10] καὶ βύσδην Cξ. – ῥύσδην (supra lin. καὶ βύζην ἀντὶ τοῦ ἀθρόως E) P'π, Zwing. in marg. – In marg. al. manu ῥίσδην, ἀθρόως H. – In marg. ῥοίσδον O. – ῥύδην K. – Erotien et Galien ont dans leurs Gloss. βύζην, qu'ils expliquent par ἀθρόως. – Ante κατ' addit καὶ vulg. – καὶ om. C. – εἰς Frob., Zwing.

μῆνα ἕκαστον· ἀλλὰ χωρέει ἡσυχῇ κατ' ὀλίγον ἄνευ πόνου καθ' ἡμέρην ἐς τὰς μήτρας· καὶ [1]τὸ ἔνδον ἐν τῇσι μήτρῃσιν ἐνεὸν αὔξεται. Καθ' ἡμέρην δὲ ἑκάστην τούτου ἕνεκα χωρέει, ἀλλ' οὐκ ἐς ἅπαξ κατὰ μῆνα, ὅτι ἐν τῇσι μήτρῃσιν ἡ γονὴ ἐνεοῦσα ἕλκει ἀπὸ τοῦ σώματος αἰεὶ, ὅκως ἂν καὶ δυνάμιος ἔχῃ. Ταύτῃ καὶ [2]ἡ πνοή· καὶ τὸ μὲν πρῶτον σμικρὴ ἡ πνοὴ γίνεται, καὶ τὸ αἷμα ὀλίγον χωρέει ἀπὸ τῆς μητρός· ὁκόταν δὲ ἡ πνοὴ ἐπὶ πλεῖον γίνηται, μᾶλλον ἕλκει τὸ αἷμα, καὶ ἐπὶ πλεῖον κατέρχεται [3]ἐς τὰς μήτρας. Τῇσι δὲ ἐν γαστρὶ μὴ ἐχούσῃσι, ὁκόταν τὰ καταμήνια μὴ χωρέῃ, διὰ τόδε ὁ πόνος γίνεται· πρῶτα μὲν ταράσσεται τὸ αἷμα ἐν τῷ σώματι κατὰ μῆνα ἕκαστον, ὑπὸ ἀνάγκης τοιῆσδε· ὅτι μὴν μηνὸς [4]διαφέρει πουλὺ καὶ κατὰ ψύξιν καὶ κατὰ [5]θερμασίην, καὶ τούτου αἰσθάνεται τῆς γυναικὸς τὸ σῶμα, ὑγρότερον γάρ ἐστιν ἢ [6] τὸ τοῦ ἀνδρὸς, καὶ ταραχθέντος τοῦ αἵματος καὶ πληρώσαντος τὰς φλέβας, ἀπέρχεται ἀπ' αὐτοῦ, [7]καί πως τοῦτο ἐν τῇ ἀρχῇ τῇ φύσει ὑπῆρξεν. Ὥστε, [8]ἢν μὲν ἀποκενῶται τοῦ αἵματος ἡ γυνὴ, λαμβάνει ἐν γαστρί· ἢν δὲ πλήρης ἔῃ, οὔ· κενεῶν γὰρ τῶν μητρέων καὶ τῶν φλεβῶν [9]γενομένων τοῦ αἵματος, λαμβάνουσι πρὸς σφᾶς αἱ γυναῖκες τοὺς παῖδας· μετὰ γὰρ τῶν καταμηνίων τὴν κάθαρσιν αἱ γυναῖκες μάλιστα λαμβάνουσιν ἐν γαστρί· αἴτιον δὲ τὸ εἰρημένον. [10]Ὁκόταν δὲ ταραχθὲν τὸ αἷμα καὶ ἀποκριθὲν μὴ χωρέῃ ἔξω, ἀλλ' ἐς τὰς μήτρας, αἱ δὲ μῆτραι μὴ χαλῶσι, θερμαινόμεναι δὴ ὑπὸ τοῦ αἵματος χρονίζοντος αἱ μῆτραι θέρμην τῷ ἄλλῳ σώματι παρέχουσιν· ἔστι δ' ὅτε καὶ διαδιδοῦσι [11]τοῦ αἵματος ἐς τὰς φλέβας τοῦ σώματος, ὅπῃ αἱ φλέβες πληρεύμεναι πονεῦνται καὶ οἰδήματα παρέχουσιν· ἔστι δ' ὅτε καὶ κίνδυνος ἐκ τοῦ τοιουτέου χωλωθῆναι· ἔστι δ' ὅτε καὶ πρὸς τὴν κύστιν προσ-

[1] Τὸ ἔνδον om. Cξ. – δ' Hπ. – εἵνεκα C. – καταμήνια pro κατὰ μῆνα C. – δύναμις, al. manu δυνάμεως H. – δυνάμιος Cξ. — [2] ἡ om. K. – γένεται (sic) ξ. – μήτρης δ. – γένηται pro γίνηται ξ. — [3] ἐς Cξ, Zwing. in marg. – ἐπὶ vulg. – Post μήτρας addit τοῦ αἵματος Cξ. – δ' C. – ἔχουσιν C. – τόδε CEHJK OP'Q'ξπ, Lind. – τάδε vulg. – πρῶτον Cεξ. — [4] πουλὺ διαφέρει (H, πολὺ) JKOεξπ. — [5] θέρμην CE (H, al. manu) Kε. – θέρμον (sic) P'ξπ. – τουτέων in marg. al. manu H. — [6] τὸ om. Cεξ. — [7] εἴ πως Zwing. in marg. – κέπως (sic) ἴσως Mercur. in marg. – πῶς C. Mack. – ἐπὶ τοῦτο FJ. – ὥστ' Cξ. — [8] εἰ (H, ἢν supra lin.) J. – ἔῃ om. ε. — [9] γεν. Cξ. – γιν. vulg. – γεν. om. Gal. in cit. t. XVII, p. 417. – ἑωυτὰς pro σφᾶς Cξ, Gal. ib., Zwing. in marg. – τὴν τῶν καταμηνίων θ. – μάλιστα Cξ. Zwing. in marg. – μάλιστα om. vulg. — [10] ὅταν Cξ. – μὴ om. C. – χωρέῃ CEFHIJKLOξπ, Lind., Mack. – χωρέει vulg.

tranquillement, peu à peu, sans souffrance, chaque jour, dans les matrices; et ce qui est à l'intérieur des matrices s'accroît. L'écoulement se fait jour par jour, et non en une fois dans le mois, parce que la semence qui est dans les matrices tire continuellement de tout le corps, en proportion de la force qu'elle a. Par là aussi s'opère la respiration. Et d'abord la respiration est petite, et peu de sang vient de la mère. Mais, quand la respiration s'accroît, elle attire plus de sang, et il en vient davantage aux matrices. Chez les femmes non enceintes, quand les règles ne marchent pas, il y a souffrance : d'abord le sang s'agite dans le corps chaque mois nécessairement par cette raison, c'est que les mois diffèrent beaucoup entre eux quant au froid et au chaud, et que ces différences sont ressenties par le corps de la femme, qui est plus humide que celui de l'homme. Le sang étant troublé et ayant rempli les veines, il s'en écoule une portion, et sans doute cela est dès le commencement dans la nature. De la sorte, si du sang est évacué, la femme devient enceinte; si elle reste à l'état de plénitude, elle ne le devient pas. Les matrices et les veines étant devenues vides de sang, les femmes conçoivent; c'est en effet après les règles que la conception est la plus ordinaire. La cause en est dans ce qui vient d'être dit. Mais, quand le sang troublé et séparé va, non au dehors, mais dans les matrices, et que les matrices ne s'ouvrent pas, elles s'échauffent par le sang qui y séjourne, et communiquent la chaleur au reste du corps. Parfois même elles versent du sang dans les veines du corps, et là les veines emplies souffrent et causent des tumeurs; parfois il y a danger que la claudication s'ensuive; parfois encore elles se portent vers la vessie, la pressent, la ferment, et produisent la stran-

-ἔξωθεν Cξ. -χάνωσι vulg. -χαλῶσι CEFG (H, al. manu χάνωσι) IJKLO P'Q'ξπ, Zwing in marg., Lind. -χρονίζοντος Cξ, Zwing. in marg. -χρονιώτερον μένοντος vulg. — ¹¹ τοῦ CEHKP'Q'ξπ, Zwing. in marg., Lind. -τοῦ om. vulg. -εἰς C. - ὅπῃ καὶ αἱ Cξ. Zwing. in marg., Lind. -πληρεύμεναι Cξ. -πληρεόμεναι vulg. -πονέονται vulg. -πονεῦνται Cξ. -πνέονται FG. -τοιουτέου Cξ. -τοιούτου vulg. -χωλευθῆναι Cξ, Zwing. in marg. -χολεθῆναι (sic) ε. -χωρεθῆναι (sic) K.

ἵστανται καὶ [1] πιέζουσι καὶ κλείουσι τὴν κύστιν καὶ στραγγουρίην παρέχουσιν· [2] ἔστι δ' ὅτε καὶ πλήρεες αἵματος ἐοῦσαι αἱ μῆτραι προσπίπτουσιν ἢ πρὸς ἴσχια ἢ πρὸς ὀσφὺν, καὶ πόνον παρέχουσιν· ἔστι [3] δ' ὅτε καὶ ἐχρόνισε τὸ αἷμα μῆνας πέντε ἢ ἕξ, [4] καὶ ἐν τῇσι μήτρῃσι σαπὲν, πῦος γίνεται, καὶ ἐνίῃσι μὲν κατὰ τὸ αἰδοῖον ἐξέρχεται [5] τὸ πῦος, ἔστι δὲ ᾗσι καὶ κατὰ τὸν βουβῶνα ὡς φῦμα γίνεται, κἀκείνῃ πῦον γενόμενον ἐξῆλθε· καὶ ἄλλα πολλὰ κακὰ τῇσι γυναιξὶ τοιουτότροπα γίνεται, ἐπὴν μὴ ἀποκαθαίρωνται τὰ καταμήνια. Ἀλλὰ τί δεῖ λέγειν αὐτὰ [6] ἐνθάδε; εἰρήσεται γὰρ ἐν τοῖσι γυναικείοισι νοσήμασιν· ἀλλ' ὅθεν ἀπέλιπον περανέω τὸν λόγον.

16. Ὁκόταν δὲ γένηται σὰρξ, τότε οἱ ὑμένες, αὐξομένου τοῦ ἐν τῇσι μήτρῃσιν ἐνεόντος, αὔξονται καὶ αὐτοὶ καὶ κολποῦνται καὶ μάλιστα οἱ ἔξωθεν· καὶ τὸ αἷμα κατελθὸν [7] ἀπὸ τῆς μητρὸς ὅ τι ἂν ἡ σὰρξ πνέουσα ἑλκύσῃ καὶ ἡ αὔξησις γένηται καὶ μὴ χρηστὸν ἔῃ, ἐς τοὺς κόλπους τῶν ὑμένων ἀποκρίνεται· καὶ ὁκόταν κολπωθέωσι καὶ [8] τὸ αἷμα δέξωνται, τότε δὴ καλέεται χόριον. Ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται.

17. Ἡ δὲ σὰρξ [9] αὐξομένη ὑπὸ τοῦ πνεύματος ἀρθροῦται, καὶ ἔρχεται ἐν αὐτέῃ ἕκαστον [10] τὸ ὅμοιον ὡς τὸ ὅμοιον, τὸ πυκνὸν ὡς τὸ πυκνὸν, τὸ ἀραιὸν ὡς τὸ ἀραιὸν, τὸ ὑγρὸν ὡς τὸ ὑγρόν· καὶ ἕκαστον ἔρχεται [11] ἐς χώρην ἰδίην κατὰ τὸ ξυγγενὲς, ἀφ' οὗ καὶ ἐγένετο, [12] καὶ

[1] Πονέουσι pro πιέζ. LP'Q'. – post πιέζ. Addunt καὶ πονέουσι (E, supra lin. καίουσι) (H, in marg. al. manu) KOεξ. – κλείουσι CE (H, al. manu, erat prius καίουσι) KLOQ'εξπ, Zwing. in marg., Mack. – καίουσι vulg. — [2] ἔστι δὲ καὶ ὅτε καὶ Mack. – καὶ CO, Zwing. in marg., Lind. – καὶ om. vulg. – πλῆρες J. – τὰ ἴσχια vulg. – τὰ om. Cξ. – τὴν ὀσφὺν P'Q', Lind., Mack. – ὀσφὴν Ald. — [3] δὲ (δ' Cξ) ὁκόταν ἐγχρονίσῃ (χρονίσῃ Cξ) vulg. – La forme de toutes ces phrases parallèles conduit à lire ὅτε καὶ ἐχρόνισε en place du texte de vulg., qui d'ailleurs n'est pas régulier et ne pourrait subsister. — [4] καὶ ε. – καὶ om. vulg. – πῦος (H, al. manu πῦον), Ald., Frob. – πύον CEFGIJKOξπ, Lind. – πόνος vulg. – πολλαῖς EFGHIJKLP'Q'ε. – πολλοῖς Zwing. in marg. – μὲν Cξ. – μὲν om. vulg. — [5] τὸ πῦος om. Cξ. – πύον KLεπ, Lind., Mack. – καὶ om. C. – γένηται pro γίνεται ξ. – κἀκείνῃ Cξ. – κἀκεῖ vulg. – πολλὰ om. P'. – πουλλὰ Lind., Mack. – κακὰ om. CEKξ. – κατὰ pro κακὰ (H, obliter.) JOε, Ald. – γίνεται C. – γένεται (sic) ξ. – γίνονται vulg. – ἐπὴν Cξ. – ὁκόταν vulg. – καθαίρωνται K. – τι pro τὰ ε. — [6] ἐνθαδὶ ε. – εἴρηται Cξ. – γυναικείῃσι C. – τῇσι γυναικείῃσι σήμασιν (sic) ε. – παρανέω Ald. – τὸν λόγον περανέω Cξ. – ὅταν O. – αὐξανομένου C (H, al. manu) ξ. – ἐνεόντος C (H, supra lin. al. manu, in textu αἵματος) ξ. – αἵματος vulg. – ἐνεόντος αἵματος ELP'Q'π. – αὐξάνονται Cξ. – ἔξω Cξ. — [7] τὸ ἀπὸ vulg. – τὸ om. ε. – μήτρας ε. – ἡ om. EKP'. – αὔξησις γένηται Cξ. – αὔξη ἐγγένηται (ἐγγίνεται

gurie; parfois, étant pleines de sang, elles se tournent soit vers les hanches, soit vers les lombes, et causent de la souffrance; parfois le sang séjourne cinq ou six mois, et, s'étant corrompu dans les matrices, il devient du pus; chez quelques-unes, le pus sort par les parties génitales; chez d'autres, il se forme une tumeur à l'aine, et le pus est évacué par là. Tels sont les maux, et beaucoup d'autres semblables, qui assaillent les femmes quand les règles sont supprimées. Mais pourquoi parler de cela ici? il en sera question dans les maladies des femmes. Je reprends le fil de mon discours là où je l'ai quitté.

16. (*Formation du chorion.*) Quand de la chair est formée, alors les membranes s'accroissent à mesure que s'accroît le produit qui est dans les matrices; elles se forment en sinus, surtout celles du dehors. Le sang descendant de la mère, ayant été attiré par la chair qui respire, ayant procuré l'accroissement, et ne pouvant plus servir, est rejeté dans les sinus des membranes. Quand les sinus sont formés et qu'ils reçoivent le sang, alors on les nomme le chorion. Voilà ce que j'avais à dire là-dessus.

17. (*Formation des diverses parties du corps. Cette formation est due à l'action du souffle. Comparaison avec des substances de pesanteur diverse, qu'on laisse se déposer dans une vessie, après y avoir versé de l'eau et introduit de l'air en soufflant.*) La chair accrue par le souffle se divise en membres; en elle le semblable va à son semblable, le dense au dense, le lâche au lâche, l'humide à l'humide; et chaque chose va en son lieu propre suivant l'affinité d'où elle provient; ce qui provient du dense est dense; de l'humide, est humide; et ainsi de suite dans

ε) vulg. – καὶ (addit μὴ Cξ; addunt ἢν μὴ Zwing. in marg., Lind., Mack) χρηστὸν ἴῃ (εἴη CKεξ, Zwing.; ἔῃ Mack) vulg. – ἀποκρίνηται ε. – ὅταν Cξ. ὁπόταν IJ. – κολπωθεῶσι Cξ. – κολπωθῶσι vulg. — [8] τι pro τὸ ε. – δὴ Cξ. – ἤδη vulg. – χόρειον Cξ. – χόριον (EH, al. manu ω) JO, Zwing. in marg., Mack. – χορίον Lind. – χωρίον vulg. – δὴ pro δὲ Cξ. – εἰς Cξ. — [9] αὐξουμένη CJεξ. – αὐτέῃ Cξ. – ταύτῃ vulg. — [10] τὸ CHKOξπ, Zwing. in marg., Lind., Mack. – τὸ om. vulg. – καὶ τὸ πυκνὸν ξ. – ἐς pro ὡς O. – πρὸς (quater) pro ὡς Cξ. – καὶ τὸ ἀραιὸν ξ. – καὶ τὸ ὑγρὸν ξ. — [11] ἐς CHIπ, Lind. – εἰς vulg. – χόρην C. – συγγενὲς C, Mack. – ὧν Cξ. — [12] καὶ om. C. – ὅσα CHJKεξπ. – ὑπὸ (bis) pro ἀπὸ Cξ. – ἐγένετο om. Cξ.

ὅσ' ἀπὸ πυκνῶν ἐγένετο πυκνά ἐστι, καὶ [1]ὅσα ἀπὸ ὑγρῶν ὑγρά· καὶ τἄλλα κατὰ τὸν αὐτὸν λόγον γίνεται ἐν τῇ αὐξήσει. Καὶ τὰ ὀστέα σκληρύνεται [2]ὑπὸ τῆς θέρμης πηγνύμενα· καὶ δὴ καὶ διοζοῦται ὡς δένδρον· καὶ ἀρθροῦται ἄμεινον καὶ τὰ εἴσω τοῦ σώματος καὶ τὰ ἔξω· καὶ ἥ τε κεφαλὴ γίνεται ἀφεστηκυῖα ἀπὸ τῶν ὤμων, καὶ οἱ βραχίονες καὶ οἱ πήχεες ἀπὸ τῶν πλευρέων· καὶ τὰ σκέλεα διίσταται ἀπ' ἀλλήλων· καὶ τὰ νεῦρα [3]ἐπαΐσσεται ἀμφὶ τὰς φύσιας τῶν ἄρθρων καὶ αὐτοστομοῦται· καὶ ἡ [4]ῥὶς καὶ τὰ οὔατα ἀφίσταται ἐν τῇσι σαρξὶ καὶ τετρήνεται· καὶ οἱ ὀφθαλμοὶ ἐμπίπλανται [5]ὑγροῦ καθαροῦ· καὶ τὸ αἰδοῖον δῆλον γίνεται ὁκότερόν ἐστι· καὶ τὰ σπλάγχνα διαρθροῦται· καὶ δὴ καὶ τοῖσιν ἄνω τὴν πνόην ποιέεται τῷ τε στόματι καὶ τῇ ῥινὶ, καὶ ἥ τε κοιλίη φυσῆται, καὶ τὰ ἔντερα καταφυσώμενα κατὰ [6]τὸ ἄνωθεν ἐπιλαμβάνει τὴν διὰ τοῦ ὀμφαλοῦ πνοὴν καὶ ἀμαλδύνει, καὶ ἐς τὸν κύσσαρον ὁδὸς γίνεται ἀπὸ τῆς κοιλίης καὶ τῶν ἐντέρων ἔξω [7]καὶ ἐς τὴν κύστιν ὁδὸς ἔξω. Τουτέων δὲ διαρθροῦται ὑπὸ τῆς πνοῆς ἕκαστα· φυσώμενα [8]γὰρ διίσταται ξύμπαντα κατὰ συγγένειαν. Καὶ γὰρ εἰ θέλοις αὐλίσκον προσδῆσαι πρὸς κύστιν, καὶ διὰ τοῦ αὐλίσκου ἐμβαλεῖν ἐς τὴν κύστιν γῆν τε καὶ ψάμμον καὶ μολίβδου κνήσματα λεπτὰ, καὶ ὕδωρ ἐπιχέας [9]φυσῆν διὰ τοῦ αὐλίσκου, πρῶτον μὲν ἐκεῖνα ἀναμεμίξεται τῷ ὕδατι, ἔπειτα δὲ χρόνῳ φυσώμενα ἐλεύσεται ὅ τε μόλιβδος [10]ὡς τὸν μόλιβδον καὶ ἡ ψάμμος ὡς τὴν ψάμμον καὶ ἡ γῆ ὡς τὴν γῆν· καὶ ἤν τις αὐτὰ [11]αὐανθῆναι ἐάσῃ καὶ περιῤῥήξας τὴν κύστιν σκέψηται, εὑρήσει αὐτέων τὸ ὅμοιον [12]ἐς τὸ ὅμοιον ἐληλυθός· οὕτω δὴ καὶ ἡ γονὴ καὶ [13]ἡ σὰρξ διαρθροῦται, καὶ ἔρχεται ἕκαστον ἐν αὐτῇ τὸ ὅμοιον ὡς τὸ ὅμοιον. Ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται.

18. Καὶ γέγονεν ἤδη παιδίον καὶ [14]ἐς τοῦτο ἀφικνέεται, τὸ μὲν

[1] Ὅσ' Lind., Mack. – τῇσιν αὔξησι (sic) Cξ. – Je pense que cela doit se lire τῇ συναυξήσει. — [2] ἀπὸ Cξ. – πυγνήμενα C. – ὀζοῦται Cξ. – δένδρεον Cξ. – ἔτι ἄμεινον vulg. – ἔτι om. Cξ. – γίγνεται ξ. – διίστανται EHP'π. — [3] ἐλίσσεται C, Zwing. in marg., Mack. – ἐλίσσεται ξ. – φύσηας C. – ῥὶν Cξ. — [4] καὶ om. C. – ἀφίστανται EHIJKOεP'π. – τετραίνεται Cξ. – τρήνεται J. — [5] ὑγροῦ.... γίνεται om. (H, restit. al. manu) IJδ. – ὁπότερον Cξ. – ὁπότερόν ἐστι ὁκότερόν ἐστι (sic) Eπ. – σπλάχνα C. – φυσῆται Cξ. – φυσᾶται vulg. — [6] τὰ Cξ. – τροφὴν pro πνοὴν C. – κύσαρον CEξπ. – πρῶκτον (E, supra lin.) P'. — [7] καὶ.... ἔξω om. Cξ. – τουτέων Cξ. – τούτων vulg. — [8] μὲν γὰρ C, Zwing. in marg. – μὲν legit Mercur. ex vet. cod. – διίστανται Jε. – σύμπαντα Mack. –

l'accroissement. Les os durcissent par la chaleur qui les coagule. Le produit se ramifie dès lors comme un arbre ; le dedans du corps et le dehors s'articulent mieux. La tête se détache des épaules ; les bras et les avant-bras, des côtés. Les jambes se séparent l'une de l'autre. Les nerfs se jettent autour des jointures et s'abouchent entre eux. Le nez et les oreilles se détachent dans les chairs et se perforent. Les yeux s'emplissent d'un humide pur. On reconnaît de quel sexe sont les parties génitales. Les viscères s'articulent. Aux parties supérieures, il y a respiration par la bouche et par le nez ; le ventre s'emplit d'air, et les intestins, soufflés par en haut, ferment la respiration venant de l'ombilic, et la détruisent. Une voie extérieure se fait pour le ventre et les intestins à l'anus ; et une voix extérieure pour la vessie. Chacune de ces parties s'articule sous l'action de la respiration ; toutes, étant soufflées, se détachent suivant l'affinité. En effet, attachez un tuyau à une vessie, introduisez par le tuyau dans la vessie de la terre, du sable et des râclures minces de plomb, versez de l'eau et soufflez par le tuyau ; d'abord toutes ces substances se mêleront dans l'eau ; puis, au bout d'un certain temps, grâce au souffle, le plomb ira au plomb, le sable au sable, et la terre à la terre ; et, si, laissant sécher et déchirant la vessie, on examine l'état des choses, on trouvera que le semblable est allé au semblable. De la même façon s'articulent la semence et la chair, et chaque chose y va vers le semblable. Je ne m'étendrai pas davantage là-dessus.

18. (*Le fœtus mâle est formé en trente jours, le fœtus fe-*

πάντα Cξ. – συγγενίην C. – θέλεις HIJKO. – ἐθέλοις C. – προσδῆσαι πρὸς κύστιν C (ξ, κύστην sine πρός). – προσδῆσαι τῇ κύστει vulg. – ἐμβαλεῖν bis scribitur H. – εἰς Cξ. – κῦστιν Frob. – κνίσματα Cξ. — [9] φυσᾶν EHP'π. – φυσεῖν I. – μίζεται (sic) pro ἀναμ. C. – μίξεται ξ. — [10] πρὸς (ter) pro ὡς Cξ. — [11] ἀβανθῆναι HJKO. – ἀναθῆναι (E, in marg. al. manu, at in textu αυανθῆναι) P', (Zwing. in textu, αὐανθῆναι in marg.). – ἀνεθῆναι Q', Lind. – ἐᾷ L. – αὐτέων Cξ. – αὐτῶν vulg. — [12] ὡς CEP'ξ. – δὴ om. HK. – δὲ Cξ. — [13] ἡ CEHIJKO. – ἡ om. vulg. – ἐν αὐτῇ Cξ. – ἐν ἑωυτῇ H, Lind., Mack. – ἐν ὠυτῇ vulg. – ἐν ἑωυτῷ K. – ἐς pro ὡς π. — [14] ἐς CH. – εἰς vulg. – Post θῆλυ addit τὴν πρώτην πῆξιν vulg. – τὴν πρώτην πῆξιν om. Cξ.

θῆλυ ἐν τεσσαράκοντα ἡμέρῃσι καὶ δύο τὸ μακρότατον, [1]τὸ δὲ ἄρσεν ἐν τριήκοντα ἡμέρῃσι τὸ μακρότατον· ὡς γὰρ ἐπιπολὺ ξυμβαίνει [2]ἐν τούτῳ τῷ χρόνῳ ἢ ὀλίγῳ μείονι ἢ ὀλίγῳ πλείονι ταῦτα διαρθροῦσθαι. Καὶ γὰρ ἡ κάθαρσις γίνεται τῇσι γυναιξὶ μετὰ τὸν τόκον ὡς [3]ἐπιτοπολὺ, ἐπὶ μὲν τῇ κούρῃ ἡμέρῃσι τεσσαράκοντα καὶ δύο· οὕτως ἡ χρονιωτάτη [4]καὶ τελείη, ἀκίνδυνος δ' ἂν εἴη καὶ ἐν εἴκοσι καὶ πέντε ἡμέρῃσιν, εἰ καθαίροιτο· [5]ἐπὶ δὲ τῷ κούρῳ ἡ κάθαρσις γίνεται ἡμέρῃσι τριήκοντα· οὕτως ἡ χρονιωτάτη καὶ τελείη, ἀκίνδυνος δ' ἂν εἴη καὶ ἐν εἴκοσιν ἡμέρῃσιν, εἰ καθαίροιτο· τοῦ [6]δὲ ὑστάτου χρόνου ἐλαχίστη χωρέει ἡ κάθαρσις· ἐπὶ δὲ τῇσι νεωτέρῃσιν ἐλάσσοσιν ἡμέρῃσι [7]καθαίρεται, ἐπὶ δὲ τῇσι πρεσβυτέρῃσι πλείοσι. Μάλιστα δὲ πονέονται αἱ γυναῖκες ἐν τῷ τόκῳ καὶ ἐν τοῖσι [8]λοχίοισιν αἱ πρωτοτόκοι, καὶ [9]αἱ ἐλάσσω τετοκυῖαι τῶν πλείω τετοκυιέων μᾶλλον πονέονται. [10]Αἱ δὲ καθάρσιες αἱ ἐκ τοῦ τόκου τῇσι γυναιξὶ τουτέου εἵνεκα γίνονται, ὅτι ἐν τῷ πρὸ τοῦ χρόνῳ μέχρι τεσσαράκοντα ἡμερέων καὶ δύο ἐπὶ τῇ κούρῃ, ἐπὶ δὲ τῷ κούρῳ μέχρι τριήκοντα ἡμερέων ἐλάχιστον αἷμα κατέρχεται ἐπὶ τὴν αὔξην τῷ παιδίῳ, τὸ [12]δὲ ἀπὸ τουτέου πλεῖον μέχρι τέκῃ· δεῖ δὴ τὴν κάθαρσιν ἀποδοθῆναι ἐν τοῖσι λοχίοισι, καὶ ἐξιέναι ἔξω κατὰ λόγον τῶν ἡμερέων. Ἀρχὴ δὲ γίνεται τοιήδε τῇ γυναικὶ ἐν τῇ ὠδῖνι· ταράσσεται τὸ αἷμα τῇ γυναικὶ καὶ θερμαίνεται [13]πάνυ ὑπὸ τῆς κινήσιος τοῦ παιδίου σθενα-

[1] Τὸ.... μακρότατον om. Cξ. – τρανώτατον pro μακρ. G. – Post μακρ. addunt καὶ δύο KO; καὶ β EH. – ἐπὶ πλεῖον Cξ. — [2] ἢ ἐν EKπ. – ἢ ὀλίγω πλεῖον ἢ ὀλίγω ἔλασσον C. – ἢ ὀλίγω ἐλάσσω ἢ ὀλίγω πλεῖον ξ. — [3] ἐπὶ τὸ πλεῖον Cξ. – Ante ἐπὶ addunt ξυμβαίνει δὲ Cξ, Zwing. in marg. – κόρῃ HJKOπ. – ἐν ἡμ. Cξ, Lind. – καὶ οὕτως (H, al. manu) KOX. — [4] καὶ CE (H, al. manu) KXQ'ξπ, Zwing. in marg., Lind. – καὶ om. vulg. – τελεία K. – κίνδυνος CIJξ. – πέντε εἰ καθαίροιτο ἡμέραις Cξ. — [5] ἐπὶ.... καθαίροιτο om. O. – τοῦ κούρου Cξ. – γίγνεται Cξ. – ἡμέραις Cξ. – τριάκοντα Cξ. – καὶ CEHKXP'ξπ, Lind. – καὶ om. vulg. – κίνδυνος Cξ. — [6] δ' Cξ. – χωρέῃ Lind. – ἡ κάθαρσις χωρέει Xπ. — [7] καθαίρονται vulg. – Je crois qu'on peut, même sans mss., lire καθαίρεται. – δὲ om. EHπ. – τοῖσι πρεσβυτέροισι J. — [8] λοχίῃσιν Ald., Frob., Zwing. – πρωτότοκοι EH. — [9] αἱ om. C (H, restit. al. manu). – ἐλάσσονα Cξ. – τῶν πλείω τετοκυιέων om. Cξ. – τετοκυέων H. — [10] αἱ δὲ καθάρσιες (καθάρσηες ξ) τῇσι γυναιξὶν ἐκ τοῦ τόκου Cξ. – τοῦ om. HJO. – τουτέου Cξ. – τούτου vulg. – εἵνεκεν ξ. – ἐν τῷ προτέρῳ τοῦ χρόνου Cξ. – χρονῳ om. O. — [11] δ' H, Zwing., Frob. – τουτέου Cξ. – τούτου vulg. – μέχρις ἂν τέκῃ E (H, ἂν al. manu) KP'Q'π, (Lind., μέχρι). — [12] δὲ CHKπ. – τὸν λόγον vulg. – τὸν om. COξ. – τοιήδε Cξ. – τοιαύτη vulg. – τῇσι γυναιξὶ C (H, in marg. al. manu) ξ. – ὀδύνῃ Cξ. – ὠδίνῃ O. – ταράσσεται τὸ αἷμα Cξ. – τὸ αἷμα ταράσσεται vulg.

melle en quarante-deux. Flux lochial et accidents causés par sa suppression; sa raison d'être, c'est qu'il compense le sang menstruel qui n'a pas été consommé pendant trente jours pour le garçon et pendant quarante-deux pour la fille, au début de la grossesse. Suivant l'auteur, le flux lochial dure trente jours pour un garçon et quarante-deux jours pour une fille. Les avortements montrent que le fœtus mâle est formé à trente jours et le femelle à quarante-deux jours, et, d'autre part, l'inégalité de la durée du flux lochial, après garçon ou fille, est une preuve de l'inégalité du temps exigé pour leur formation respective.) Voilà l'enfant formé; et à ce point arrivent la fille en quarante-deux jours au plus, le garçon en trente jours au plus. C'est dans ce terme, un peu plus un peu moins, que toutes ces parties s'articulent. En effet, la purification lochiale dure généralement pour une fille quarante-deux jours, c'est la plus longue, elle est complète; mais, terminée en vingt-cinq jours, elle serait aussi sans danger; pour un garçon, trente jours, c'est la plus longue, elle est complète; mais, terminée en vingt jours, elle serait aussi sans danger. Vers la fin, le flux lochial est le moins abondant; il dure moins de jours chez les jeunes femmes, plus chez les femmes plus âgées. Les primipares souffrent le plus dans l'accouchement et dans les lochies; et celles qui ont eu moins d'enfants souffrent plus que celles qui en ont eu davantage. Les purgations subséquentes à l'accouchement viennent chez les femmes parce que dans les premiers temps, jusqu'à quarante-deux jours pour la fille, jusqu'à trente pour le garçon, très-peu de sang descend pour la croissance de l'enfant, et que la quantité, à partir de là, en augmente jusqu'à l'accouchement. Il faut que la purgation lochiale soit correspondante et qu'elle coule suivant le calcul des jours. Le commencement est ainsi pour la femme dans les douleurs : le sang s'échauffe et se trouble tout à fait par les

– τῆς γυναικὸς Cξ. – τῇ γυναικὶ om. E (H, erasum al. manu) Kπ. — [13] πᾶν Cξ, Zwing. in marg. – κινήσιος Hπ, Lind., Mack. – κινήσεως vulg. – κινήσηος ξ. – παιδὸς C.

ρῆς ἐούσης· ταραχθὲν δὲ, πρῶτον μὲν ἔρχεται [1] ἔξω· μετὰ δὲ τὸ παιδίον ἰχὼρ παχὺς αἱματώδης· καὶ ὑφήγησις ἐγένετο τούτῳ, ὥσπερ ὕδατι ἐπὶ τραπέζης· ἔπειτα [2] δὲ μετ' ἐκεῖνον ἀνὰ πάσας τὰς ἡμέρας χωρέει ἡ κάθαρσις, ἕως τοῦ εἰρημένου χρόνου, πλῆθος ἀττικὴ κοτύλη ὅλη [3] καὶ ἡμίσεια τὸ πρῶτον, ἢ ὀλίγῳ πλεῖον ἢ ὀλίγῳ ἔλασσον, κατὰ λόγον τουτέου μέχρις ἂν λήξῃ. Χωρέει δὲ αἷμα οἷον ἀπὸ ἱερείου, ἢν [4] ὑγιαίνῃ ἡ γυνὴ καὶ μέλλῃ ὑγιαίνειν, καὶ ταχὺ πήγνυται· [5] ἢν δὲ μὴ ὑγιαίνῃ ἡ γυνὴ μηδὲ μέλλῃ ὑγιαίνειν; χωρέει ἡ κάθαρσις ἐλάσσων καὶ εἶδος πονηροτέρη, καὶ οὐ ταχὺ πήγνυται. [6] Ὧδε δὲ τοῦτο ἔχει· ἤν τι ἡ γυνὴ ἐν γαστρὶ ἔχουσα νόσημα ἔχῃ μὴ ξυγγενὲς ἐὸν τῇ λοχείῃ καθάρσει, ἀπόλλυται· ἢν δὲ μὴ ἀποκαθαίρηται ἐν τῇσι πρόσθεν [7] ἡμέρῃσιν εὐθὺς ὑγιεινὴ ἐοῦσα εἴτε καὶ μὴ, ἐσσυθῇ δέ οἱ ἡ [8] κάθαρσις, εἴτε ὑπὸ φαρμάκων εἴτε καὶ αὐτομάτη ἐξαίφνης, κατὰ λόγον τῶν ἡμερέων χωρήσει ὧν οὐ χωρέει ἐς ἅπαξ· ἢν γὰρ μὴ [9] ἀποκαθαίρηται τὰ λόχια ἡ γυνὴ, νοῦσος αὐτῇ μεγάλη ἔσται, καὶ κινδυνεύσει ἀποθανεῖν, ἢν μὴ μελεδαίνηται ἐν τάχει [10] καὶ αὖθις αὐτῇ ἐπάγῃ τὴν κάθαρσιν. [11] Ταῦτα εἰσενεγκάμην ὧδε διὰ τοῦτο, ὅκως ἀποφήνω ὅτι τῶν παιδίων γίνεται ἡ διάκρισις τῶν μελέων ἡ μακροτάτη ἐπὶ μὲν τῇ κούρῃ ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρῃσιν, [12] ἐπὶ δὲ τῷ κούρῳ ἐν τριήκοντα ἡμέρῃσιν· ἱστόριον ἡ κάθαρσις τῶν λοχίων, ὅτι ἐπὶ μὲν

[1] Ἔξω om. (H, restit. al. manu) J. – Post ἔξω addunt ἔπειτα τὸ παιδίον Zwing. in marg., Lind., Mack. – δὲ om., restit. al. manu H. – τούτου Cξ. – D'après les traducteurs il s'agit de l'eau qui, répandue sur une table plane et ne coulant ni d'un côté ni de l'autre, se met à couler si avec le doigt on en conduit un peu vers le bord. — [2] δὲ Cξ. – δὲ om. vulg. – ἐκεῖνο C (H, al. manu) KO. – ἡ om. Cξ. – ἀττικῇ Frob. – ἢ ὅλη Cξ, Zwing. in marg., Mercur. in marg.. – ὅλη om. J. — [3] ἢ καὶ C, Zwing. in margine, Merc. in marg. – ἡμίσεια ξ. – πλείω vulg. – πλείων EHIJKOπ, Lind., Mack. – πλεῖον Cξ, Ald. – ἐλάσσω vulg. – ἐλάσσων EHI JKOπ, Lind. – ἔλασσον Cξ. – Ante κατὰ addunt καὶ Zwing. in marg.; ἐὸν Mercur. in marg. – τουτέου CE (H, al. manu) ξπ. – τούτου vulg. – μέχρι λήξει Cξ. – χωρέα ξ. — [4] ὑγιηρὴ ἡ CHKP'Q'ξπ, (Zwing. in marg.), Lind. – καὶ ἢν μέλλῃ vulg. – καὶ μέλλῃ Cξ. – μέλλει K. — [5] ἢν.... πήγνυται om. (H, restit. al. manu) IJ. – ὑγιηρὴ ἡ γυνὴ Cξ. – ὑγιηρὴ ᾖ ἡ π, Lind. – ἐλάσσων Cξπ. – ἐλάσσω HK. – ἐλάττων vulg. – πονηρότερον EFGHKOP'Q'π. – πηγνυμένη Cξ. — [6] οὕτω Cξ. – δὲ καὶ K. – τοῦτ' C. – ἔχουσα om. P'. – ἔχει J. – ξυγγενὲς EH, Lind. – συγγενὲς vulg. – ἐν (ὂν pro ἐν C; ἐὸν E, H al. manu, KOξπ, Zwing. in marg., Mercur. in marg., Mack) τῇ vulg. – λοχίῳ vulg. – λοχείῃ CHKξπ. — [7] Post ἡμ. addit ἐν γαστρὶ ἔχουσα vulg. – J'ai retranché, sans mss, ἐν γ. ἔχ., mots qui gênent le sens,

forts mouvements de l'enfant ; troublé, il sort d'abord ; puis, après l'enfant, vient une humeur épaisse, sanguinolente, elle ouvre la voie à la purgation lochiale (*voy.* p. 538, l. 22) comme à de l'eau sur une table (*comp.* Quatrième livre des Maladies, § 51, *in fine*) ; ensuite, après cette humeur, coule chaque jour la purgation lochiale, jusqu'au terme indiqué, une cotyle attique (*cotyle* = 0[litre],27) et demie au début, un peu plus ou un peu moins, suivant cette proportion jusqu'à la fin. Le sang est comme celui d'une victime si la femme se porte bien et doit se bien porter, et il se coagule promptement. Si la femme ne se porte pas bien et ne doit pas se bien porter, la purgation est moindre et a plus mauvaise apparence ; elle ne se coagule pas promptement. Voici comment vont les choses : si la femme enceinte éprouve quelque maladie qui n'ait pas d'affinité avec la purgation lochiale, elle succombe ; si dans les premiers jours elle n'a pas le flux lochial, soit tout d'abord en santé, soit malade, et qu'ensuite le flux fasse éruption, soit par les remèdes, soit spontanément, il procédera proportionnément au nombre de jours où il n'a pas marché. Dans le cas où la purgation lochiale ne se fait pas, il en résulte une grave maladie et danger de mort, si la femme n'est pas soignée hâtivement et si on ne ramène pas le flux. J'ai amené ces détails afin de montrer que, chez les enfants, la distinction des parties s'opère au plus tard pour la fille en quarante-deux jours, pour le garçon en trente ; ce qui

et qui ont été répétés, à tort, de la ligne précédente. La note suivante montre que cette phrase a, dans certains mss., beaucoup souffert des copistes. – καὶ om. Cξ. – ἐπεσσυθῇ Zwing. in marg. – ἐσπυθῇ (sic) FGH. – Il faut remarquer ce subjonctif avec l'augment, que je n'ai pas changé, les mss. étant unanimes ; voy. Matthiæ, au mot σεύω. — [8] Post καθ. addunt εἴτε ὑγιεινὴ ἐοῦσα εἴτε τῷ (καὶ pro τῷ O) μὴ εὐθὺς μὴ ἴοι (ἴοι om. O) ἡ κάθαρσις E (H, al. manu in marg.) KO. – εἴτε καὶ ὑπὸ E (H, al. manu) KOπ. – Ante φαρμ. addit τῶν al. manu H. — [9] ἀποκαθήρηται Eπ. – καὶ τὰ Cξ. – ἢν δὲ μὴ θεραπεύηται μελεδαίνηται O. – In marg. al. manu γέγρ. καὶ μελεδονέηται, et θεραπεύηται, ἐπιμελῆται H. — [10] καὶ αὖθις αὐτῇ ὑπάγει C (ξ, αὖτις). – καί τις αὐτῇ προσήκουσαν ἐπάγῃ vulg. – τὴν om. ξ. — [11] ταῦτα δ' L, Lind., Mack. – εἰσηνεγκάμην C. – ὅπως Hπ. – ἀποφανῶ Cξ. — [12] ἐν L. – ἡμέρῃσιν.... δυοῖν om. CJδξ. – ἱστόρια Ald. – ἱστόριον δὲ E (H, al. manu) KOπ. – λουχίων Ald., Frob. – γίνεται om. K.

τῇ κούρῃ γίνεται ἐν τεσσαράκοντα καὶ δυοῖν ἡμέρῃσιν, [1]ἐπὶ δὲ τῷ κούρῳ ἐν τριήκοντα ἡμέρῃσιν ἡ χρονιωτάτη. Μέλλω [2]δὴ τὸ δεύτερον νῦν ὀνομάζειν σαφηνίης ἕνεκα· φημὶ γὰρ ἀνταποδίδοσθαι, [3]ὅτι ἐν τῇσι μήτρῃσιν ἐνεούσῃ τῇ γονῇ ἐλάχιστον αἷμα ἔρχεται ἀπὸ τῆς γυναικὸς ἐπὶ τὰς μήτρας θῆλυν γονὸν ἐχούσης ἐν τεσσαράκοντα [4]καὶ δυοῖν ἡμέρῃσιν· ἐν γὰρ ταύτῃσι διαρθροῦται τὰ μέλεα τῶν παιδίων· ἀπὸ δὲ τούτου τοῦ χρόνου ἐπὶ πλεῖον ἔρχεται τὸ αἷμα· [5]καὶ ἐπὶ τῷ κούρῳ πάλιν κατὰ λόγον τῶν τριήκοντα ἡμερέων ὧδε ἔχει. Ἕτερον δ' ἱστόριον τόδε, ὅτι ταῦτά ἐστιν ἀληθέα· τῇσι πρώτῃσι τῶν ἡμερέων ὁκόταν ἡ γονὴ ἐς τὰς μήτρας [6]πέσῃ, ἐλάχιστον αἷμα ἔρχεται ἀπὸ τῆς γυναικὸς ἐς τὰς μήτρας, ἔπειτα δὲ ἐπὶ πλεῖον· εἰ γὰρ ἀθρόον καὶ πολὺ ἔλθοι ἐς ἅπαξ, οὐκ ἂν δύναιτο ἡ γονὴ πνοὴν ἔχειν, ἀλλ' ἀποπνιγείη ἂν τοῦ αἵματος ἰόντος πολλοῦ. Ἀνταποδίδοται [7]δὲ ἐν τῇ καθάρσει τοὐναντίον· χωρέει γὰρ ἡ κάθαρσις τῶν λοχίων ἐν τῇσι πρώτῃσι τῶν ἡμερέων πλείστη, εἶτα ἐπ' ἐλάσσω, ἕως ἂν λήξῃ. Πολλαὶ [8]δὲ γυναῖκες ἤδη διέφθειραν κοῦρον ὀλίγῳ πρόσθεν τριήκοντα ἡμερέων, καὶ ἄναρθρον ἐφαίνετο· ὁκόσα δὲ ὕστερον ἢ ἅμα [9]τῇσι τριήκοντα ἡμέρῃσι, διηρθρωμένα ἐφαίνετο ἐόντα· καὶ ἐπὶ τῇ κούρῃ κατὰ λόγον τῶν τεσσαράκοντα καὶ δύο ἡμερέων, [10]ὁκόταν διαφθαρῇ, φαίνεται ἡ διάρθρωσις τῶν μελέων· ἤν τε πρόσθεν φθαρῇ τὸ παιδίον ἤν τε ὕστερον, ὧδε φαίνεται καὶ λόγῳ καὶ ἀνάγκῃ· ἡ διάρθρωσις ἐοῦσα, ἐπὶ μὲν τῇ κούρῃ ἐν τεσσαράκοντα καὶ δύο ἡμέρῃσιν, ἐπὶ δὲ τῷ κούρῳ ἐν τριήκοντα· ἱστορέουσι γὰρ αἱ [11]ἐξαμβλώσιες τῶν παιδίων καὶ τῶν λοχίων αἱ καθάρσιες. Αἴτιον δέ ἐστιν ὅτι τὸ θῆλυ πήγνυται ὕστερον καὶ [12]διαρθροῦται, ὅτι ἡ γονὴ ἀσθενεστέρη ἐστὶ καὶ ὑγροτέρη τῆς θηλείης ἢ τοῦ ἄρσενος· καὶ ἀνάγκη ἐστὶ κατὰ τοῦτον τὸν λόγον ὕστερον πήγνυσθαι τὸ θῆλυ ἢ τὸ [13]ἄρσεν·

[1] Ἐν EHIKOP'π. – τριάκοντα Frob. – τριήκονθ' Cξ. — [2] δὲ CEHKO. – τὸν δεύτερον O. – νῦν om. O. – ὀνομάζειν νῦν E. – σαφηνείας C. – σαφηνείης HIJK. – σαφηνίας ξ. — [3] ὅτε C. – γονὴν vulg. – Lisez γόνον; voy. § 7. — [4] ἡμέρῃσι καὶ δύο Cξ. – ταύτῃσι τῇσιν ἡμέρῃσιν CE (H, al. manu) KP'ξπ. — [5] καὶ om. CJξ. – πάλιν om. Cξ. – ἡμερέων. Ὧδε δὲ (δὲ om. CEHKP'ξ) ἔχει ἕτερον (addunt δ' EHKOπ) ἱστόριον τοιόνδε (τόδε CEHIJKP'Q'ξ) vulg. – ταῦτ' ἀληθέα ἐστὶν Cξ. — [6] ἐμπέσῃ E (H, al. manu) Kπ. – ἐπὶ pro ἐς Cξ. – ἔλθῃ Cξπ. — [7] δ' Cξ. – λουχίων Ald., Frob. – εἶτ' Cξ. – ἂν E (H, al. manu) KOP'π, Zwing., Mack. – ἂν om. vulg. – λήξει Cξ. — [8] δ' ἤδη γυναῖκες Cξ. – ὀλίγον H. – τριήκονθ' Cξ. — [9] τῇσι om. G, Ald. – τριήκοντα.... καὶ om. K. — [10] ὁκόταν γὰρ E (H, al.

le prouve c'est que le flux lochial dure au plus quarante-deux jours pour la fille, et trente pour le garçon. Maintenant, je vais pour plus de clarté répéter la chose : je dis qu'il y a correspondance, parce que, la semence étant dans les matrices, très-peu de sang vient, pendant quarante-deux jours, de la femme ayant un produit féminin; c'est dans ce terme que s'articulent les parties des enfants; à partir de là, le sang vient en plus grande abondance; pour le garçon, il en est de même, en comptant trente jours. Voici la seconde preuve de la vérité de tout cela : dans les premiers jours après l'arrivée de la semence dans les matrices, très-peu de sang va de la femme à l'utérus, puis il en va davantage; si en effet il en venait beaucoup à la fois, la semence ne pourrait pas avoir de la respiration et elle serait étouffée par l'afflux du sang. La correspondance est inverse dans le flux lochial; il est le plus abondant dans les premiers jours, puis il va en diminuant jusqu'à ce qu'il cesse. Il est arrivé bien des fois que des femmes ont avorté d'un garçon peu avant trente jours, et le produit était inarticulé; mais les garçons qui ont été expulsés plus tard ou à l'expiration même des trente jours, étaient articulés. Pour une fille, quand il y a avortement, l'articulation des parties se montre réglée par les quarante-deux jours. Selon que le produit est expulsé plus tôt ou plus tard, l'articulation apparaît ainsi, et en théorie et en fait, pour la fille, en quarante-deux jours, pour le garçon, en trente, car les fausses couches et le flux lochial en fournissent la preuve. Ce qui fait que le produit femelle se coagule et s'articule plus tard, c'est que la semence femelle est plus faible et plus humide que la semence mâle; nécessairement la coagulation du produit femelle retarde en proportion, et par cette raison la purgation lochiale dure plus

manu) KOP'Q', Lind. — [11] ἐξαμβλώσηες Cξ. – λουχίων Ald., Frob. – καθάρσηες C. – δ' ἐστὶν ξ. — [12] ἀρθροῦται C. – ἄρσενος ξ, Gal. in cit. t. XVII, p. 446. – ἄῤῥενος vulg. – τὸ θῆλυ πήγνυσθαι Cξ. — [13] ἄρσεν Cξ. – ἄῤῥεν vulg. – θηλείη Cξ. – θηλείᾳ vulg. – γίνεται CE (H, al. manu) KP'π, Zwing. in marg. (post ἄρσενι, Q', Lind.). – γίνεται om. vulg. – ἢ ἐπὶ CE (H, al. manu) Kξπ, Zwing. in marg. – ἐπὶ om. vulg. – τῇ ἄρσενι C.

καὶ ἡ κάθαρσις χρονιωτέρη τούτου εἵνεκεν ἐπὶ τῇ θηλείῃ γίνεται ἢ ἐπὶ τῷ ἄρσενι. Ἀναβήσομαι δὲ αὖθις ὀπίσω ὅθεν [1]ἀπέλιπον.

19. Ὁκόταν δὲ διαρθρωθῇ τὸ παιδίον, τὰ εἴδεα τῶν μελέων, αὐξομένου αὐτοῦ, τά τε ὀστέα ἐπισκληρότερα [2]γίνεται, καὶ κοιλαίνεται· καὶ ταῦτα ὑπὸ τοῦ πνεύματος γίνεται· κοῖλα δὲ ἐόντα ἕλκει [3]ἐς ἑωυτὰ ἀπὸ τῶν σαρκῶν τοῦ αἱμάλωπος τὸ πιότατον. Καὶ χρόνῳ διοζοῦται αὖθις τὰ ἄκρα τῶν ὀστέων, ὥσπερ δενδρέου τὰ ἀκρότατα ὕστατα ὀζοῦται· οὕτω καὶ τοῦ παιδίου διίστανται ἀπ' ἀλλήλων οἱ δάκτυλοι τῶν χειρῶν καὶ τῶν ποδῶν. [4]Καὶ ἐπὶ δ' αὖ τῶν ἄκρων οἱ ὄνυχες φύονται· τελευτῶσι γὰρ αἱ φλέβες αἱ τοῦ ἀνθρώπου πᾶσαι ἐς τοὺς δακτύλους τῶν ποδῶν καὶ τῶν χειρῶν, καὶ παχύταται μέν εἰσιν αἱ ἐν τῷ σώματι φλέβες, [5]αἱ ἐν τῇ κεφαλῇ, ἔπειτα δὲ ἐν τοῖσι σκέλεσι καὶ [6]τοῖσι βραχίοσι καὶ [7]τοῖσι πήχεσιν, ἐν δὲ τοῖσι ποσὶ καὶ τῇσι χερσὶ λεπτόταται καὶ πυκνόταται καὶ πλεῖσται φλέβες εἰσὶ καὶ νεῦρα λεπτότατα καὶ πυκνότατα καὶ πλεῖστα, [8]καὶ ὀστέα ἐλάχιστα τῷ μεγέθει· τῶν δὲ χειρῶν καὶ τῶν ποδῶν [9]ἐν τοῖσι δακτύλοισι ταῦτα μάλιστά ἐστιν. Ἐκ δὲ τῶν δακτύλων ἅτε πυκνὰ ἐχόντων ὀστέα [10]σμικρὰ καὶ φλέβας καὶ νεῦρα οὕτως, οἱ ὄνυχες φύονται ἐξ αὐτῶν λεπτοὶ καὶ πυκνοί· καὶ ἀπολαμβάνουσι τῶν φλεβῶν τὰ ἄκρα, ὥστε μηκέτι αὔξεσθαι αὐτὰς μηδὲ [11]προέχειν ἑτέρην ἑτέρης· ὥστε μὴ θαυμάζειν ὅτι οἱ ὄνυχες ἐξωτάτω τοῦ σώματος πυκνότατοί εἰσιν, [12]ἐκ γὰρ τῶν πυκνοτάτων εἰσίν.

20. [13]Ἅμα δὲ τοῖσιν ὄνυξι καὶ αἱ τρίχες ἐν τῇ κεφαλῇ ῥιζοῦνται· ἔχει δὲ ὧδε τὰ ἀμφὶ τῶν τριχῶν τῆς φύσιος· φύονται [14]μὲν γὰρ μέγισται καὶ πλεῖσται, ὅκου τοῦ σώματος ἡ ἐπιδερμὶς ἀραιοτάτη ἐστὶ καὶ ὅκου ἡ θρὶξ μετρίην ἰκμάδα ἐς τὴν τροφὴν [15]ἔχει. Καὶ ὅκου ἡ ἐπι-

[1] Ἀπέλιπον CEHJKOπ. – ἀπέλειπον vulg. – ἔτι σκληρότερα E (H, al. manu) KOP'π. — [2] γίνονται EFHJKπ. — [3] εἰς EH. – τῶν pro τοῦ FG (H, al. manu τοῦ) J. – αἵματος C (E, supra lineam). – αἱμάσιος (sic) Codd. mss. ap. Foes, Zwing. in marg. – ἐμοὶ δοκεῖ τοῦ αἵματος in marg. δ. – πιώτατον H, Frob., Zwing., Lind. — [4] καὶ in marg. al. manu H. – καὶ om. vulg. – αὖ τῶν CEH. – αὐτῶν τῶν (τῶν om. ξπ) vulg. – ἐς CH, Lind. – εἰς vulg. – τῶν χειρῶν καὶ τῶν ποδῶν π. — [5] καὶ αἱ CEFGHIJKOξπ, Ald., Zwing. in marg. – τῇσι C. — [6] ἐν τοῖσι CJ. — [7] ἐν τοῖσι C. — [8] καὶ.... μεγέθει om. C (E, restit. al. manu) ξπ. – Post μεγέθει addunt καὶ πυκνότατα καὶ πλεῖστα (H, alia manu) K. — [9] καὶ pro ἐν CIJ. — [10] Ante σμικρὰ addunt καὶ E (H, alia manu) KOP'Q', Lind., Mack. – οὕτως. Οἱ δ' ὄνυχες Lind., Mack. — [11] προσέχειν J. – ἔξωθεν E (H, alia manu) KOπ. — [12] ἐκ.... εἰσὶν om. C (H, restit. al. manu)

longtemps pour la fille que pour le garçon. Je reprends le fil de mon discours là où je l'ai laissé.

19. (*Suite du développement de l'enfant. Formation des os. Formation des veines qui sont conçues comme allant en diminuant de grosseur de la tête aux doigts des pieds et des mains; voy. là-dessus* t. I, p. 215. *Formation des ongles.*) Quand l'enfant est articulé, les formes des membres, à mesure qu'il croît, deviennent plus fermes, les os durcissent et se creusent; cela se fait par le souffle. Étant creux, ils attirent à eux, hors des chairs, la partie la plus grasse du sang. Plus tard, les extrémités osseuses se ramifient de nouveau, comme se ramifient les dernières extrémités d'un arbre. Ainsi, chez l'enfant, les doigts des mains et des pieds se détachent les uns des autres. Derechef, les ongles se produisent au bout des doigts; car toutes les veines du corps finissent aux doigts des pieds et des mains; les plus grosses sont dans la tête; les plus grosses ensuite dans les jambes, dans les bras et les avant-bras; dans les pieds et les mains sont les plus déliées, les plus serrées, les plus nombreuses, ainsi que les nerfs les plus déliés, les plus serrés et les plus nombreux, et les os les plus petits. Voilà comment sont les doigts des mains et des pieds. De la sorte, les doigts, ayant un grand nombre de petits os, veines et nerfs, donnent naissance aux ongles minces et serrés, qui embrassent les extrémités des veines, de sorte que celles-ci cessent de s'accroître et ne proéminent pas l'une sur l'autre. Ainsi l'on ne doit pas s'étonner que les ongles, qui sont à la dernière extrémité du corps, aient tant de densité; ils proviennent de ce qu'il y a de plus dense.

20. (*Formation des cheveux et des poils. Pourquoi les eunuques ne deviennent pas chauves. Pourquoi les cheveux blanchissent.*) En même temps que les ongles, les cheveux s'enracinent dans la tête. Voici ce qu'il en est de la nature des poils : Ils viennent les plus longs et les plus abondants là où l'épiderme est le plus lâche et où le poil a une humidité modérée

IJδ. — [13] ἄνω (H, ἅμα al. manu) IJOδ. — [14] μὲν om. Cξ. — [15] ἴσχει Cξ. — ὅπου π.

δερμὶς ὕστερον ἀραιὴ γίνεται, [1]ἐκεῖ καὶ ὕστερον αἱ τρίχες φύονται, επι τε τῳ γενείῳ καὶ τῇ ἥδῃ καὶ εἴπου ἄλλοθι. Ἅμα γὰρ τῷ γόνῳ γινομένῳ ἡ σὰρξ ἀραιὴ γίνεται καὶ ἡ ἐπιδερμὶς, καὶ τὰ [2]φλέβια στομοῦται μᾶλλον ἢ ἐν τῷ πρὶν χρόνῳ· παιδὶ γὰρ ἐόντι λεπτῶν τῶν φλεβίων ἐόντων, οὐκ ἐκχωρέει δι' αὐτῶν ἡ γονή· καὶ τῇσι παρθένοισι περὶ τῶν καταμηνίων ωὑτὸς λόγος· ἅμα δὲ ὁδὸς προσγίνεται καὶ τοῖσι καταμηνίοισι καὶ τῇ [3]γονῇ· καὶ τριχοῦται ἡ ἥδη τοῦ παιδὸς καὶ τῆς παρθένου, ἀραιῆς τῆς ἐπιδερμίδος [4]γενομένης· καὶ ἅμα ἡ θρὶξ ἰκμάδα μετρίην ἐς τὴν τροφὴν ἔχει καὶ οὐκ ἐλάσσονα. Οὕτω δὲ [5]καὶ ἐπὶ τοῦ γενείου τοῦ ἀνδρὸς ἔχει· ἀραιὴ γὰρ γίνεται ἡ ἐπιδερμὶς, χωρεούσης [6]ἐς αὐτὴν τῆς ἰκμάδος ἀπὸ τῆς κεφαλῆς· ἅμα μὲν γὰρ καὶ ἐν τῇ λαγνείῃ, ἅμα δὲ καὶ ἐν τῷ μεταξὺ χρόνῳ ἡ θρὶξ μετρίην ἔχει τὴν ἰκμάδα ἐς τὴν τροφὴν [7]τότε μάλιστα, ὁκόταν ὁ χρόνος ἐγγένηται τῷ ὑγρῷ ἀπὸ τῆς κεφαλῆς καταβαίνοντι ἐν τῇ λαγνείῃ, ἀπεχόντων τῶν στηθέων, ἐπὶ τὸ γένειον. [8]Σημήϊον δὲ ὅτι ἐν τοῖσιν ἀραιοτάτοισι τῆς ἐπιδερμίδος φύονται αἱ τρίχες· εἴ τις ἐθέλοι ἐπικαῦσαι τὴν ἐπιδερμίδα καὶ φλύκταιναν μοῦνον ποιῆσαι καὶ ὑγιῆναι, πυκνὴ γενομένη ἡ ἐπιδερμὶς κατὰ τὴν οὐλὴν τὰς τρίχας οὐκ ἐκφύσει. Ὁκόσοι δὲ εὐνοῦχοι παῖδες ἐόντες γίνονται, [9]διὰ τοῦτο οὔτε ἡβῶσιν, οὔτε γενειῶσι, λεῖοί τε γίνονται ὅλοι, ὅτι ἡ ὁδὸς τῇ γονῇ οὐκ ἐπιγενομένη οὐκ ἀραιοῖ τὴν ἐπιδερμίδα ἐπὶ τῷ ξύμπαντι [10]δέρματι· ἀπολέλαπται γὰρ ἡ ὁδὸς τῆς γονῆς, ὥσπερ μοι εἴρηται ὀλίγῳ πρότερον. [11]Καὶ αἱ γυναῖκες δὲ λεῖαι γίνονται τό τε γένειον καὶ τὸ σῶμα, ὅτι ἐν τῇ λαγνείῃ σφέων τὸ ὑγρὸν οὐχ ὁμοίως κλονεόμενον ὡς τὸ τοῦ

[1] Ἐκεῖ om. X. – καὶ ὅκου pro ἐκεῖ καὶ CEFGHIJKOξπ, Ald. – καὶ τῇ ἥδῃ om. Lind. – τοῦ γόνου γινομένου al. manu H. — [2] φλέβεα J. – φλεβία ξπ. – στομοῦται CEHKOξπ. – στομοῦνται vulg. – ἐόντι καὶ τῶν φλεβίων λεπτῶν vulg. – ἐόντι λεπτῶν τῶν φλεβίων C (ξ, sine τῶν). – ἐκχωρέει C. – ἐγχωρέει vulg. – παρθένῃσι Ald., Frob., Zwing. — [3] Post γονῇ addit τῇσι παρθένοισι vulg. – On peut, même sans mss., supprimer ces mots, qui ont été, à tort, répétés de la ligne précédente. — [4] γεν. Cξ. – γιν. vulg. – ἐς C, Lind. – εἰς vulg. — [5] καὶ ἡ ἐπὶ vulg. – καὶ ἐπὶ CEHKπ. — [6] εἰς vulg. – ἐς CHξπ, Lind. — [7] τότε δὲ Zwing. in marg., Lind., Mack. – ὁ om. Cξ. – ἐν τῷ ὑγρῷ E. – ἀπέχων (ἀπέχον EFGHIJOξ, Ald.; ἀπέχοντι non male legi posse videtur, Foes in notis) (addunt ἀπὸ CE, H al. manu, KOP'Q'π, Zwing. in marg.) τῶν στηθέων vulg. – ἐν τῇ λαγνείῃ ἐπὶ τὸ γένειον καὶ ἀπέχοντι ἀπὸ τῶν στηθέων Lind. – ὁκόταν τῷ ὑγρῷ ἐν τῇ λαγνείῃ ἀπὸ τῆς κεφαλῆς καταβαίνοντι ἐπὶ τὸ γένειον, ὁ χρόνος ἐγγένηται, ἀπέχοντι τῶν στηθέων Mack. – Dans ce pas-

pour sa nutrition. Aussi, là où l'épiderme devient lâche tardivement, là aussi les poils croissent tardivement, au menton, au pubis et ailleurs. En effet, au moment où le sperme se forme, la chair devient lâche ainsi que l'épiderme, et les veines s'abouchent plus qu'auparavant. Chez le garçon, les veines sont menues et la semence n'y chemine pas. Il en est de même chez les filles pour les règles. La voie se fraye à la fois pour les règles et pour le sperme, et le pubis se couvre de poils chez le garçon et chez la fille, l'épiderme étant devenu lâche, et le poil ne trouvant pour sa nutrition ni trop ni trop peu d'humidité. Il en est de même pour le menton de l'homme; l'épiderme devient lâche, attendu que l'humidité y vient de la tête; en effet, et dans le coït, et dans le temps intermédiaire, le poil a une humidité modérée pour sa nutrition; c'est alors surtout que le temps arrive pour l'humide, pendant le coït, de descendre de la tête au menton, la poitrine étant plus éloignée. Voici la preuve que les poils naissent dans les parties les plus lâches de l'épiderme : Si, brûlant légèrement l'épiderme de manière à faire seulement une phlyctène, on laisse cicatriser, l'épiderme, devenu dense à l'endroit de la cicatrice, ne produira pas de poils. Ceux qui sont faits eunuques dans l'enfance n'ont de poil ni au pubis ni au menton et sont complètement glabres, parce que la voie, ne s'étant pas ouverte pour la semence, ne rend pas l'épiderme lâche sur toute la peau; en effet, la voie de la semence est interceptée comme je l'ai dit un peu plus haut. Les femmes aussi sont glabres au menton et au corps parce que, dans le coït, l'humide, chez elles, n'étant pas agité comme chez l'homme, ne rend pas l'épiderme lâche.

sage altéré, la restitution la plus simple me paraît : ἀπεχόντων τῶν στηθέων. — [8] σημεῖον E. - θέλοι J. - φλυκταῖναν Eπ. - φλυκταίναν Frob. - φλύκτενα J. - μοῦνον Cξ. - μόνον vulg. - ὑγιῆσαι Lind. - τὰς om. K. - ἐκφύσει Cξ. - ἐκφύσεται vulg. - ἐκφυήσεται K. — [9] διὰ τοῦθ' οὔτ' ἐδηβῶσιν (sic) C. - τοῦθ' οὔθ' ξ. - ἀραιεῖ C. — [10] σώματι Zwing. in marg., Mercur. in marg. - ἀπολέλαπται CIJξ. - ἀπολέληπται vulg. - ἀπολέλειπται EHKOX, Ald. — [11] καὶ Cξ. - καὶ om. vulg. - αἱ γυναῖκες δὲ Cξ. - αἱ δὲ γυναῖκες vulg. - λαγνεία E. - δὲ pro δὴ ξ.

ἀνδρὸς τὴν ἐπιδερμίδα οὐ ποιέει ἀραιήν. Ὁκόσοι δὲ φαλακροὶ γίνονται, οὗτοι δὴ φλεγματώδεές εἰσι· καὶ ἐν τῇ κεφαλῇ αὐτέων ἅμα τῇ λαγνείῃ κλονεόμενον καὶ θερμαινόμενον τὸ φλέγμα, [1]προσπῖπτον πρὸς τὴν ἐπιδερμίδα καίει τῶν τριχῶν τὰς ῥίζας, καὶ ἐκρέουσιν αἱ τρίχες· οἱ δὲ εὐνοῦχοι διὰ τοῦτο οὐ γίνονται φαλακροὶ, ὅτι σφέων οὐ γίνεται κίνησις ἰσχυρὴ, οὐδὲ θερμαινόμενον τὸ φλέγμα ἐν τῇ λαγνείῃ καίει τῶν τριχῶν τὰς ῥίζας. [2]Αἱ δὲ πολιαὶ διὰ τοῦτο γίνονται, ὅτι ἐν πολλῷ χρόνῳ διικνευμένου τοῦ ὑγροῦ ἐν τῷ ἀνθρώπῳ, ἀποκρίνεται τὸ λευκότατον καὶ πίπτει πρὸς τὴν ἐπιδερμίδα· καὶ ἡ θρὶξ λευκοτέρην ἰκμάδα [3]ἕλκουσα ἢ ἐν τῷ πρὶν χρόνῳ λευκοτέρη γίνεται, [4]καὶ ἡ ἐπιδερμὶς, ὅκου αἱ πολιαί εἰσι, λευκοτέρη τῆς ἄλλης γίνεται· [5]καὶ ὁκόσοι ἐκ γενετῆς πολιόν τι ἔχουσιν ἐν τῇ κεφαλῇ, κείνοισιν ἡ ἐπιδερμὶς, ὅκου αἱ πολιαί εἰσι, λευκοτέρη τῆς ἄλλης ἐστίν· ἐκεῖ γὰρ τὸ λευκότατον ὑγρόν ἐστιν. Ἔχει δὲ καὶ τόδε ὧδε· ὁκοίην ἂν ἡ σὰρξ ἰκμάδα [6]ἕλκῃ, ἥν τε λευκὴν ἥν τε πυῤῥὴν ἥν τε μέλαιναν, τοιαύτη τὴν χροιὴν καὶ ἡ θρὶξ γίνεται. Ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται. Ἐλεύσομαι δὲ αὖθις [7]ἐς τὸ ἐπιλειπὲς τοῦ λόγου.

21. Ὅταν δὲ [8]δὴ τὰ ἄκρα τοῦ σώματος [9]τοῦ παιδίου [10]ὀζωθῇ ἔξω, καὶ οἱ ὄνυχες καὶ αἱ τρίχες ἐῤῥιζώθησαν, τότε δὴ καὶ κινέεται, καὶ ὁ χρόνος ἐς τοῦτο γίνεται τῷ μὲν ἄρσενι τρεῖς μῆνες, τῇ δὲ θηλείῃ τέσσαρες· ὧδε γὰρ [11]ὡς ἐπιτοπλεῖστον ξυμβαίνει· ἔστι δ' ἃ καὶ πρόσθεν τῶν παιδίων τουτέου τοῦ χρόνου κινέεται. [12]Κινέεται δὲ πρόσθεν τὸ ἄρσεν, ὅτι ἐστὶν ἰσχυρότερον τοῦ θήλεος· καὶ [13]πρόσθεν πήγνυται τὸ ἄρσεν, ἀπὸ γὰρ ἰσχυροτέρης καὶ παχυτέρης γονῆς γίνεται. Ὁκόταν δὲ κινηθῇ τὸ ἔμβρυον, τότε δὴ ἐπισημαίνει καὶ τὸ γάλα τῇ μητρί·

[1] Ante πρ. addunt καὶ EKX. – πρ. πρὸς τὴν ἐπ. om. FG (H, restit. al. manu) JO. – Post ῥίζας addunt οἷα δὴ ὡς προσπίπτον πρὸς τὴν ἐπιδερμίδα FG (H, erasum al. manu) IJO. – γίγνονται C. — [2] καὶ αἱ πολιαὶ X. — [3] ἔχουσα Cξ. – λευκοτέρα EH. — [4] καὶ om. (H, restit. al. manu) JX. – Ante ὅκου addit καὶ μᾶλλον vulg. – καὶ μᾶλλον om. Cξ. – ὅπου CEπ. — [5] καὶ.... ἐστὶν om. (H, restit. al. manu) IJ. – ὅπου π. — [6] ἐλέῃ (sic) C. – ἥν τε λευκὴν om. (H, restit. al. manu) IJ. – ἥν τε πυῤῥὴν om. (E, restit. al. manu) π. – τοιαύτην J. – χροιὰν H. — [7] ἐς C, Lind. – εἰς vulg. – ἐπιλιπὲς J. – ἐπίλειπες Zwing. in marg. – ἀπολιπὲς Cξ. – ἀπόλειπες vulg. (H, al. manu ἀπόλειπον). – ἀπόλειπον O. – ἀπόλοιπες E. – ὑπόλοιπον K. — [8] οὖν pro δὴ Gal. in cit. t. XVII, p. 447. — [9] τοῦ om. J. — [10] ἐξωθῇ Gal. ib. – ὀζεθῇ (sic) IJ. – θηλεία, al. manu η H. – Les mss ont uniformément ἐῤῥιζώθησαν; cependant l'usage hippocratique exigerait ῥιζωθῶσι. — [11] ὡς E (H, al. manu) KOP'Q'π. – δὲ C. – του-

γινομένου, ἔρχεται ἀπὸ τῆς παλαιῆς χολῆς διὰ τὴν πληθὺν ἐς τὴν κοιλίην, καὶ στρόφος ἐκ τούτου τῇ κοιλίῃ γίνεται, καὶ [1]ἐξέρχεται ἐξ αὐτέης τὸ μὲν κατὰ τὴν κύστιν, τὸ δὲ κατὰ τὴν κοιλίην, καὶ οὕτως ἐλάχιστον ἐς τὸν ἄνθρωπον γίνεται, καὶ παύονται οἱ πόνοι. Ἢν δὲ τούτων μηδέτερον γένηται, χωρέει τὸ πρῶτον ἀπὸ τῆς παλαιῆς ἐς τὸ σῶμα, διαδίδοται γὰρ ἐς αὐτό· κἢν μὲν [2]πολλὴ ἔῃ, αὐτίκα ἐπισημαίνει μιχθεῖσα τῷ ἄλλῳ ὑγρῷ· ἢν δὲ ὀλίγη, οὐκ ἂν ἐσάσσειεν, ἅτε μέγα τὸ σῶμα ἐόν, ἢν μή τις καὶ ἄλλη ἀρχὴ ὑπογένηται· χρόνῳ δὲ ἢν μὲν ἑτέρη χολὴ [3]ἐπιγένηται, πλείω σίνεται τὸν ἄνθρωπον· ἢν δὲ μὴ ἐπιγένηται, διηθήσειεν ἂν τὸ σῶμα, ὥστε τὴν χολὴν προϊέναι, ἅσσα [4]τέ ἐστι χολώδεα. Ἕτερα γὰρ τῶν ἑτέρων τὰ ἐσθιόμενα καὶ πινόμενα φάρμακά ἐστιν· οὕτω [5]δὴ καὶ τὰ ἄλλα ὁκόσα σινεόμενά ἐστιν, ὑφ' ἑτέρου ἕτερον ἐσπεσὸν ἐς τὴν κοιλίην, [6]τῇ ἑωυτοῦ δυνάμει τὸ αἰτίην ἔχον διηθέεται ἔξω, καὶ ἀσινὲς τοῦτο. Ἐπὴν [7]δὲ ἐπιγένηται ἄλλη χολὴ ἐν τῷ σώματι ἀπὸ τῶν ἐς τὴν κοιλίην πιπτόντων, νόσος ἐντεῦθεν γίνεται. Ἐν [8]τούτῳ δὲ ἐγὼ ἐπεσήμηνον, ὅκως ἡ χολὴ καὶ διότι πλείων γίνεται ἐν τῷ σώματι ἀπὸ τῶν βρωμάτων καὶ τῶν ποτῶν, καὶ ὅτι ἕλκει ἐς ἑωυτὸ [9]τὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι κατὰ τὸ ὅμοιον τὸ χολῶδες ἀπὸ τῶν σιτίων καὶ τῶν ποτῶν.

37. Νῦν [10]δὲ ἐρέω περὶ ὕδρωπος, ὥς τε καὶ διὰ τί πλείων γίνεται ἐν τῷ σώματι, καὶ ὅκως ἕλκει ὁ σπλὴν ἐς ἑωυτόν. Φημὶ δέ, ἐπὴν ὁ ἄνθρωπος πίνῃ πλέον, [11]ἕλκειν ἐς ἑωυτὸν ἐκ τῆς κοιλίης τοῦ ὕδατος καὶ τὸ σῶμα καὶ τὸν σπλῆνα, καὶ, ἢν πλέον εἰρύσῃ τοῦ καιροῦ, πονέειν αὐτίκα τὸν ἄνθρωπον, καὶ τοῦτο [12]ἐσαΐουσι γινόμενον

[1] Ἐσέρχεται, al. manu ἐξέρ. H. – ἐξ EFGHIJK, Merc. in marg., Lind., Mack. – ἐξ om. vulg. — [2] πουλὺ (πολὺ IJK) vulg. – πολλὴ EH. – ἐσάσειεν vulg. – μετὰ pro μέγα (E, in marg. al. manu μέγα) GJK. — [3] ὑπογένηται (H, al. manu ἐπι) v. – φθίνηται pro σίνεται (G, supra lin. φθείρει) I, Ald. – φθίνει, al. manu φθίνεται H. – φθίνεται EKv. – φθίνῃ J. — [4] δὲ vulg. – τε LK', Lind., Mack. – Correction qui paraît fort bonne. – καὶ πιν. om. FGIJK. — [5] δὲ EHP'. – εἰσπεσὸν E. – ἐσπεσὼν J. – σινεόμενα φάρμακά ἐστιν vulg. – J'ai supprimé φάρμακα, qui me paraît nuire au sens et provenir de la répétition du φάρμακα précédent. — [6] τῇ ἑωυτοῦ δυνάμει, αἰτίην ἔχον τὸ κρατηθὲν ἔξω (ἔξωθεν K'; ἐξωθεῖν Mack; προϊέναι vel ὠθέειν supplendum censet Foes) καὶ σινέεται τοῦτο (τοῦτον EHIJK) vulg. – Tâchant de me guider par le sens dans cette phrase altérée, je déplace τὸ, et lis διηθέεται au lieu de κρατηθὲν, et ἀσινὲς au lieu de σινέεται. Comp. p. 556, l. 5 : τὰ δὲ διηθέει ἔξω, καὶ ἀσινέες γίνονται. — [7] δ' EH. — [8] τοῦτο J. – ἐπεσήμαινον Mack ex Æm. Porto. – διεσήμηνον HKLQ'v, Lind. – La correction d'Æm. Portus paraît bonne;

tire à soi ce qui y est bilieux. Et si beaucoup de bile se fait tout à coup, on souffre dans le foie, et le ventre rend plus de bile; car, les choses étant ainsi, la surabondance fait que de la vieille bile s'épanche dans le ventre, il en résulte des tranchées, et une portion est évacuée par la vessie, une portion par le ventre; de la sorte, elle devient très-peu abondante, et les souffrances cessent. Si ni l'une ni l'autre de ces évacuations ne survient, d'abord il s'en va de la vieille bile dans le corps, vu les communications; si elle est abondante, elle donne aussitôt, mêlée au reste de l'humide, signe de sa présence; si elle est en petite quantité, elle ne se fait pas sentir, attendu la grosseur du corps, à moins qu'il n'y ait dès auparavant un autre principe de maladie; mais, au bout de quelque temps, s'il arrive de nouvelle bile, elle cause plus de mal; s'il n'en arrive pas, le corps la filtrera de manière à s'en débarrasser, ainsi que de ce qui est bilieux. En effet, les aliments et les boissons sont remèdes les uns des autres; et, en général, pour tout ce qui nuit, comme l'un succède à l'autre dans le ventre, ce qui cause du mal est filtré au dehors par sa propre vertu et devient inoffensif. Mais, si une nouvelle bile s'ajoute, venant des substances ingérées dans le ventre, il en résulte une maladie. Par cela, j'ai montré comment et pourquoi la bile s'augmente dans le corps par les aliments et les boissons, et que le réservoir qui est au foie attire à soi, par la similitude, la partie bilieuse des aliments et des boissons.

37. (*Origine de l'eau dans le corps; causes de l'augmentation de cette humeur. L'eau a son siége dans la rate.*) Maintenant, je vais parler de l'eau et exposer comment et pourquoi elle s'augmente dans le corps, et comment la rate attire à soi. Je dis que, quand on boit trop, l'eau est attirée du ventre et par le corps et par la rate, et que, si elle pompe plus qu'il ne faut,

cependant les mss. sont unanimes pour l'ἡ. — [9] τὸ EFGHIJK, Lind. - τὸ om. vulg. — [10] δ' E. - ὥστε vulg. - ὡς δὲ Mack. - πῶς τε E. - διό, τι Lind. - ἕλκει EHIJK. - ἕλκῃ vulg. — [11] ἕλκει EGHJ. - πλέον EH. - πλεῖον vulg. - τὸν ἄνθρ. αὐτίκα EH. — [12] ἐσαΐσσουσι H. - ἐσαΐσσουσι EK, Lind.

ὁκόσοι σπληνώδεες τῶν ἀνθρώπων εἰσίν. Ἐπὴν δὲ εἰρύσῃ ὁ σπλὴν, ἄριστα μὲν, εἰ ἐν τῇ κύστει [1]διηθηθείη ἀπὸ τοῦ ὕδατος τὸ παλαιὸν τοῦ ἐνεόντος ἐν τῷ σπληνὶ ἢ τῇ κοιλίῃ, καὶ ταῦτα ἐκδιηθήσειε· κατὰ τὰ ἄνω γὰρ χωρία οὐκ ἀποκαθαίρεται τὸ ὕδωρ ἀπὸ τοῦ σπληνὸς, [2]εἰ μὴ ὁκόσον δὴ ἐν τοῖς ἀγγείοις ἐνεόν ἐστι τοῖσιν ἀπὸ τοῦ σπληνός· [3]ἀλλ' ἴα ἐστὶν ἀποκάθαρσις ἐς τὴν κοιλίην καὶ ἐς τὴν κύστιν. Ἢν δὲ ταῦτα μὴ εὔροα ᾖ, μηδὲ διηθῇ ἔξω, ἀπὸ τοῦ σπληνὸς ἔρχεται τὸ ὕδωρ ἐς τὰ κάτω· κεῖθι δὲ μίσγεται τῇ ἄλλῃ ἰκμάδι· κἢν μὲν ὀλίγον ἔῃ, οὐκ ἂν [4]ἐσάσσειεν, ἀλλὰ διηθηθείη ἂν ἀπὸ τοῦ σώματος ἐς τὴν κύστιν καὶ ἐς τὴν κοιλίην διὰ φλεβῶν· εἰσὶ γὰρ ἐκ τούτου κατατείνουσαι πολλαὶ, αἳ ἕλκουσιν [5]ἐς ἑωυτὰς ἐκ τῶν κάτωθεν χωρίων, ἐπὴν ξηρότεραι γένωνται ἢ πρὶν ἦσαν. Ἢν δὲ [6]γίνηται ἕτερον ὕδωρ καὶ ἡ κοιλίη καὶ ἡ κύστις μὴ διηθῇ ἔξω, ἀείρεται ὁ σπλὴν, καὶ τὰ κάτω τοῦ σώματος ἐπίπονα γίνεται. Ταῦτα δέ μοι εἴρηται, ὅκως τε καὶ διότι τὸ ὕδωρ [7]πλεῖον γίνεται ἐν τῷ σώματι ἀπὸ τοῦ ποτοῦ, καὶ ὅκως ὁ σπλὴν ἕλκει.

38. Νῦν [8]δὲ ἐρέω περὶ αἵματος ὅκως τε καὶ διότι πλεῖον γίνεται ἐν τῷ σώματι. Ἐπήν τι πίῃ ἢ φάγῃ ὁ ἄνθρωπος, ὅ τι ἐστὶν αἱματῶδες, ἕλκει μὲν καὶ τὸ σῶμα ἅπαν ἐς ἑωυτὸ, ἕλκει δὲ καὶ ἡ καρδίη τὸ αἱματῶδες ἐς ἑωυτὴν, καὶ ἐπὴν πλέον εἰρύσῃ, οὐ γίνεται οἱ τῇ καρδίῃ πόνος· στερεὸν [9]γάρ τι χρῆμα καὶ πυκνόν ἐστιν ἡ καρδίη, καὶ διὰ τοῦτο οὐ πονέει, καὶ ἐξ αὐτῆς παχεῖαι φλέβες τείνουσιν αἱ σφάγιαι καλεόμεναι, ἐς ἃς ταχέως, [10]ἢν πλεῖον προσγένηται, διαδίδοται τὸ αἱματῶδες, καὶ πιμπλάμεναι κεῖναι τῇ κεφαλῇ καὶ τῷ σώματι διδόασιν ἐν τάχει, καὶ ἐπήν τι φάγῃ ἢ πίῃ, ὅ τι ἐστὶν αἱματῶδες, αὐτίκα αἱ σφάγιαι φλέβες ἀείρονται, καὶ τὸ πρόσωπον ἐρεύθει. [11]Προσγενομένου δὲ τῇ καρδίῃ καὶ τῷ σώματι τοῦ αἵματος πλεί-

[1] Διηθείη vulg. – δοθείη EFGHIJKP'Q'. – διηθέῃ Mack ex Æm. Porto. – διηθηθείη Lind. – La correction de Lind. est la bonne. — [2] εἰ EH. – ἢν vulg. – ἐννεὸν Ald. — [3] ἀλλ' οἷα vulg. – ἄλλοια E. – ἀλλοία K. – Quoique ἴα soit épique, cependant je ne puis m'empêcher de croire que c'est la véritable leçon; c'est du moins le véritable sens. Peut-être aussi οἵη conviendrait-il. — [4] ἐσάσειεν vulg. – διηθείη vulg. – διηθέῃ Mack. — [5] ἐς om., restit. al. manu E. – γένωνται E. – γίνωνται vulg. – γίνονται J, Ald., Mack. — [6] γίνηται EGHIJK. – γίνεται vulg. — [7] Ante πλ. addit τὸ J. — [8] δ' EH. – φάγῃ ἢ πίῃ K. — [9] τε γὰρ sine τι EHP'Q', Lind. – τι om. v. – Post αὐτῆς addit τῆς καρδίης Mack. — [10] Post ἢν addunt οἱ EHIJKL (P'Q', οἴνου). – καὶ ἐκεῖναι πιμπλ. EHv. — [11] προσγιν. H. – βρωμάτων J.

le sujet souffre aussitôt; ceux qui ont quelque affection de la rate s'en aperçoivent fort bien. La rate ayant pompé, le mieux est que la vieille eau qui est dans la rate soit filtrée dans la vessie ou dans le ventre, et expulsée par ces voies. En effet, l'eau de la rate ne se purge pas par les parties supérieures, si ce n'est le peu qui est dans les vaisseaux provenant de la rate; et la seule purgation est par le ventre et la vessie. Mais, si ces voies ne sont pas libres et qu'il n'y ait pas filtration, l'eau va de la rate dans les parties inférieures, et là se mêle au reste de l'humeur; si elle est en petite quantité, elle ne se fait pas sentir, mais elle est filtrée hors du corps, dans la vessie et dans le ventre, par les veines; car il y a beaucoup de veines, venant du corps, qui, devenues plus sèches qu'elles n'étaient auparavant, puisent dans les parties inférieures. Mais, si une nouvelle eau est produite, et que le ventre et la vessie ne l'expulsent pas, la rate se gonfle, et les parties inférieures du corps deviennent douloureuses. Voilà mon explication comment et pourquoi l'eau s'augmente dans le corps par la boisson, et comment la rate attire.

38. (*Origine du sang dans le corps ; causes de l'augmentation de cette humeur. Le sang a son siége dans le cœur. Hypothèse sur le cœur, laquelle conduit à croire que cet organe ne peut pas être malade. Une telle opinion paraît avoir prévalu dans l'antiquité et avoir beaucoup entravé la pathologie du cœur.*) Maintenant, je vais dire comment et pourquoi le sang s'augmente dans le corps. Quand on boit ou mange quelque chose de sanguin, cela est attiré d'un côté par le corps tout entier, de l'autre par le cœur. Ayant abondamment tiré, le cœur ne devient pas douloureux, car c'est une chose solide et dense que le cœur, et c'est pourquoi il ne souffre pas. De plus, il en part de grosses veines, les veines dites jugulaires, où passe promptement l'humeur sanguine, si elle est trop abondante; remplies, ces veines transmettent tout de suite à la tête et au corps, de sorte qu'à peine a-t-on mangé ou bu quelque chose de sanguin, que les veines jugulaires se gonflent et que le vi-

ονος τοῦ ἱκανοῦ ἀπὸ τῶν βρωτῶν καὶ [1]τῶν ποτῶν καὶ μισγομένου τῷ ἄλλῳ ὑγρῷ, ἢν μὴ ἀπ' αὐτοῦ ἐξέλθῃ κατὰ τὴν κοιλίην ἢ κατὰ τὴν κύστιν, μιγὲν τῇ ἄλλῃ ἰκμάδι ἐν τῷ σώματι πόνον παρέχει· ἢν δὲ ὀλίγον προσγένηται, οὐκ [2]ἐσάσσειεν ἂν ἐς τὸ σῶμα, χρόνῳ δὲ διαδίδοται ἀπ' αὐτοῦ ἐς τὴν κοιλίην ἢ κατὰ τὰς ῥῖνας, τὰ δὲ διηθέει ἔξω καὶ ἀσινέες γίνονται· ἢν [3]δὲ ἐξ ὀλίγου πλέον γένηται, ἐπίνοσον γίνεται. Ὄκως δὲ πλέον τὸ αἷμα γίνεται, ἡρμήνευταί μοι. [4]Τέσσαρα ἐόντα τό τε αἷμα καὶ ἡ χολὴ καὶ τὸ φλέγμα καὶ ὁ ὕδρωψ, ἀποπέφανται ταῦτα πάντα ὅκως τε καὶ διότι πλεῖον γίνεται ἐν τῷ σώματι ἀπὸ τῶν βρωτῶν καὶ [5]τῶν ποτῶν. Ὅτι δὲ γίνεται ἀπὸ τούτων, σημήϊον τόδε ἐστίν· εἰ ὁ ἄνθρωπος ὀλίγα ἐσθίει καὶ ὀλίγα πίνει, οὐδεμίαν τοῦτο νοῦσον ἐπάγει. [6]Καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται· παρέψαυσται δέ μοι δηλῶσαι τῷ συνετῷ καὶ ὅκως ταῦτα ἐλάσσονα γίνεται· δηλώσω δὲ περὶ αὐτοῦ κάλλιον ὀλίγῳ ὕστερον.

39. Τὰς δὲ πηγὰς ἃς ὠνόμασα, αὗται τῷ σώματι, ὁκόταν [7]πλήρεες ἔωσιν, αἰεὶ ἐπιδιδόασιν· ὁκόταν δὲ κεναὶ περιίστανται, ἀπ' αὐτοῦ· οὕτω δὲ [8]καὶ ἡ κοιλίη ποιέει. Ἔχει γὰρ οὕτως ὥσπερ εἴ τις ἐς χαλκεῖα τρία καὶ πλείονα ὕδωρ ἐγχέας καὶ συνθεὶς ὡς ἐπὶ ὁμαλωτάτου χωρίου καὶ συναρμόσας ὡς κάλλιστα [9]διαθείη, αὐλοὺς ἐναρμόσας ἐς τὰ τρυπήματα, καὶ ἐγχέοι ἡσυχῇ ἐς ἓν τῶν χαλκείων ὕδωρ μέχρις οὗ ἐμπλησθῇ ἀπὸ τοῦ ὕδατος πάντα· ἀπὸ γὰρ τοῦ ἑνὸς ῥεύσεται ἐς τὰ [10]ἕτερα χαλκεῖα μέχρις ὅτου καὶ τὰ ἄλλα ἐμπλησθῇ· ἐπὴν δὲ πλήρεα γένηται τὰ χαλκεῖα, ἤν τις ἀπὸ τοῦ ἑνὸς [11]ἀπαρύσῃ τοῦ ὕδατος, ἀνταποδώσειεν ὀπίσω

[1] Τῶν om. E. – μιγὲν GHJK, Ald., Lind. – μισγὲν vulg. — [2] ἐσάσειεν vulg. – ἐάσειεν K. – ἐς om. vulg. – Il faut ἐς, comme le montrent les phrases parallèles. — [3] δ' EH. — [4] τέσσαρα δὲ K', Lind., Mack. – δὲ pro τε EGHIJ, Ald. – τε om. K. – ὕδροψ IK. – πλείων K. — [5] τῶν om. E. – σημήϊον P'Q', Lind. – σημεῖον vulg. – ὁ EP'Q', Mack. – ὁ om. vulg. – ἐσθίοι EHIJ. – ἐσθίῃ K. – πίνοι EHIJK. – τοῦτο EK', Mack. – τούτῳ (τ. om. GIJK) vulg. — [6] καὶ om. K. — [7] πλῆρες J. – ἐῶσιν IJ. – εἰῶσιν Ald. – Il faudrait περιιστῶνται, le subjonctif, comme pour ἔωσιν. — [8] καὶ om. v. – ἐς EH, Lind. – εἰς vulg. – ἐκχέας EG (H, al. manu) IJ. — [9] διαθέει, al. manu διαθείη H. – ἐπιδιαθείη E P'Q'v, Lind., Mack. – ἐγχέῃ vulg. – ἐγχέει H. – ἐγχέοι E. – ἐμπλησθῇ EH. – πλησθῇ vulg. — [10] ἕτερα EH. – λοιπὰ vulg. – μέχρις.... χαλκεῖα om. G. – τἄλλα IJK. – ἐμπλησθῇ v, Mack. – πλησθῇ vulg. – γίνεται IJ. — [11] ἀπαρρύσῃ G. – ἀπορρύσῃ Ald. – ἀπὸ τοῦ ὕδατος v. – ἀνταποδώσει ἂν Mack ex Æm. Porto. – ἐς EH, Lind. – εἰς vulg. – ἓν EFGHIJ, Ald. – ἓν om. vulg. – πάλιν om. (H, restit. al. manu) v. – ἐδέξαντο F (H, al. manu) IJ.

sage rougit. Donc, le sang, étant venu des aliments et des boissons plus copieusement qu'il ne faut au cœur et au corps, et s'étant mêlé au reste de l'humide, si une portion ne s'en va pas par le ventre ou par la vessie, le sang, dis-je, mélangé au reste de l'humeur, cause de la souffrance dans le corps. S'il en vient peu, il ne se fait pas sentir; petit à petit, il en passe par le ventre ou par les narines, qui l'expulsent, et il n'en résulte aucun mal. Mais, si de peu abondant il devient trop abondant, le sujet est pris de maladie. Voilà mon interprétation de la surabondance du sang. Les quatre humeurs, sang, bile, phlegme et eau, j'ai démontré comment et pourquoi toutes s'augmentent dans le corps par les aliments et les boissons. Que cet excès provienne des aliments et des boissons, en voici la preuve : manger peu et boire peu n'engendre aucune maladie. Voilà ce que j'avais à dire là-dessus; et même, pour un homme intelligent, j'ai implicitement aussi fait voir comment ces humeurs diminuent; au reste, un peu plus loin, j'entrerai dans de plus amples explications à ce sujet.

39. (*Va-et-vient entre le corps et les sources. Comparaison de cette disposition avec un arrangement de vases qui communiqueraient entre eux par des tuyaux; il suffirait, pour les emplir ou les vider tous, d'en emplir ou d'en vider un seul. Usage que l'auteur fait de ces prétendues sources, pour expliquer comment parfois nous désirons un aliment ou une boisson particulière.*) Les sources que j'ai nommées, fournissent continuellement au corps, quand elles sont pleines; mais, quand elles sont vides, elles y puisent; autant en fait le ventre. C'est en effet comme si on versait de l'eau en trois chaudrons ou plus, mis sur un plan parfaitement uni, disposés de la façon la plus commode, percés et munis de tuyaux à l'endroit des pertuis; l'eau, versée doucement dans l'un des chaudrons, ira les emplir tous; en effet, elle coulera de l'un dans les autres jusqu'à ce que tous soient emplis. Et réciproquement, les chaudrons étant pleins, si l'on ôte de l'eau à l'un, l'eau reviendra dans celui-ci, et les chaudrons se videront comme ils s'étaient emplis. Il

ῥέον τὸ ὕδωρ ἐς τὸ ἓν χαλκεῖον, καὶ κενεὰ ἔσται τὰ χαλκεῖα πάλιν ὥσπερ καὶ ἐδέξατο. Οὕτω [1] δὴ καὶ ἐν τῷ σώματι ἔχει· ἐπὴν γὰρ ἐς τὴν κοιλίην πέσῃ τὰ βρώματα καὶ τὰ ποτὰ, [2] ἐπαυρίσκεται τὸ σῶμα ἀπὸ τῆς κοιλίης καὶ πληροῦται σὺν τῇσι πηγῇσιν· ἐπὴν δὲ ἡ [3] κοιλίη κενῶται, ἀποδίδοται αὖθις ὀπίσω ἡ ἰκμὰς, ὥσπερ καὶ ἐπεδέξατο ἐκ τῶν ἄλλων τὸ ἓν χαλκεῖον. Φλέβες τε γάρ εἰσι διὰ παντὸς τοῦ σώματος τείνουσαι, αἱ μὲν λεπτότεραι, αἱ δὲ παχύτεραι, πολλαὶ καὶ πυκναί· αὗται δὲ, μέχρις οὗ ἂν [4] ζώῃ ὁ ἄνθρωπος, ἀνεῴγασι καὶ δέχονταί τε καὶ ἀφιᾶσι νέον ὑγρόν· ἐπὴν δὲ ἀποθάνῃ, συμμύουσι καὶ γίνονται λεπταί. Μέχρι [5] μὲν οὖν ζώῃ ὁ ἄνθρωπος, ἐπαυρίσκεται μὲν τὸ σῶμα ἀπὸ τῆς κοιλίης, ἐπήν τι ἔχῃ ἐν ἑωυτῇ· ἐπαυρίσκονται δὲ αἱ πηγαὶ καὶ πιμπλάμεναι διαδιδόασι τῷ σώματι· εἰ γὰρ τὸ σῶμα μὴ [6] ἕλκοι ἀπὸ τῆς ἰκμάδος τῆς κοιλίης, ἀλλ' αἱ πηγαὶ μόναι, ἢ ἐς τὸ σῶμα μὴ ἐδίδοσαν, οὐκ ἂν εἶχε τὸ σῶμα τροφὴν ἀρκέουσαν, [7] ἀλλὰ ἐλάσσονα· οὐ γὰρ ἂν ἔτι εἶχον τῷ σώματι τὴν τροφὴν διεκδιδοῦσαι πηγαί. Αἱ δὲ πηγαὶ αὗται εἰ μὴ ἦσαν, ἐσθίοντες ἂν καὶ πίνοντες οὐκ ἂν διεγινώσκομεν ἀτρεκέως, οὔτε ὅ τι ἡδύ ἐστιν οὔτε ὅ τι ἀηδὲς, κατὰ ἀνάγκην τοιήνδε [8] ἣν μέλλω ἐρέειν. Ταῦτα τὰ χωρία, ἅτε μικρότερα ἐόντα καὶ ἔνδοθεν τοῦ ἄλλου σώματος, ἀεὶ καὶ πρὸ τοῦ ἐσάσσαι ἕκαστον κατὰ τὴν ἑωυτοῦ δύναμιν ἑρμηνεύει τῷ ἄλλῳ σώματι τῶν ἐσθιομένων καὶ πινομένων [9] ὅ τι χολῶδές ἐστι καὶ ὅ τι φλεγματῶδες καὶ ὅ τι αἱματῶδες καὶ ὅ τι ὑδρωποειδές. Τούτων γὰρ ἡμῖν ὅ τι [10] ἂν ἑκάστου πλεῖον τοῦ καιροῦ [11] γίνηται καὶ ἐν τοῖσι ποτοῖσι καὶ ἐν τοῖσι βρωτοῖσι, κεῖνα οὐδὲ ἡδέα γίνεται· ἅσσα δὲ χατίζει μάλιστα κατὰ ταῦτα, κεῖνα ἡδέα ἐστίν. [12] Εἰ δὲ βρωτῶν καὶ ποτῶν ἐνδεήσεται τῶν πηγέων τις, κατὰ τοῦτο καὶ τὸ σῶμα ἑλκύσει ἀπ' αὐτέων τέως καὶ τὸ ὑγρὸν ἔλασσον τοῦ καιροῦ γένηται· τότε ἱμείρεται [13] ὁ ἄνθρωπος ἢ φαγέειν ἢ πιέειν τοιοῦτον, ὅ

[1] Δὲ EH. – τὴν FGIJ, Demetrius Pep. in cit. de Pod., XIV. – τὴν om. vulg. — [2] ἀπ. v. – κοιλίης EHIJK. – κοιλίας vulg. — [3] κοιλία G. – κενοῦται FGHIJKv, Ald. – καὶ ἀποδίδ. K. – ἐπεδέξατο ὡς ἐκ τῶν ἄλλων ἐς τὸ vulg. – Le sens me paraît exiger la suppression de ὡς et de ἐς. – ἓν om. K. — [4] ζώει G, Ald., Frob. – ἀνεῴγασι.... ἄνθρωπος om. K. – καὶ δέχονται καὶ ἀφιᾶσί (addit παλαιόν Lind.) τε καὶ (τὸ pro τε καὶ K') νέον ὑγρὸν vulg. – Je pense qu'il n'y a que τε καὶ à déplacer. — [5] δὲ pro μὲν οὖν EHv. – ἀπαυρ. v. – τις pro τι HIJ. — [6] ἕλκοι HK. – ἕλκει GIJ. – ἕλκῃ vulg. – καὶ ἐς τὸ vulg. – Je lis ἤ. – διεδίδοσαν pro μὴ ἐδίδοσαν K'. — [7] ἀλλ' E. – τὴν om., restit. al. manu E. — [8] οἵην EH. – ἐσάσαι vulg. – ἐᾶσαι EK. – ἐσάξαι K'. — [9] ὅ τί τε vulg. – τε om. HK. – καὶ ὅ τι φλ. om., restit. al. manu E. – ὑδροποειδὲς IK. — [10] ἂν om.

en est de même dans le corps; les aliments et les boissons étant arrivés dans le ventre, le corps puise dans le ventre et se remplit ainsi que les sources; mais, quand le ventre se vide, l'humeur y retourne par un mouvement inverse, de même que le chaudron où l'on puisait reçut l'eau des autres. Il y a en effet des veines s'étendant par tout le corps, les unes plus menues, les autres plus grosses, nombreuses et rapprochées; ces veines, tant que dure la vie, sont ouvertes, recevant et émettant un nouveau liquide; après la mort, elles se ferment et deviennent menues. Donc, tant que l'homme est en vie, le corps puise dans le ventre, quand le ventre contient quelque chose; les sources y puisent aussi, et, remplies, distribuent dans le corps ce qu'elles ont puisé. En effet, si le corps ne puisait pas à l'humeur qui est dans le ventre et que ce fussent les sources seules, ou qu'elles ne fissent pas de distribution au corps, celui-ci ne trouverait pas une nourriture suffisante; car il n'y aurait plus de nourriture fournie au corps par les sources. Quant à ces sources, si elles n'existaient pas, nous ne distinguerions pas bien, en mangeant et en buvant, ni ce qui est agréable, ni ce qui est désagréable. Je vais en dire la raison nécessaire : ces réservoirs, étant assez petits et placés à l'intérieur du corps, signalent toujours et avant toute réplétion au corps entier, chacun suivant sa vertu propre, ce qui, dans les aliments et les boissons, est bilieux, phlegmatique, sanguin, aqueux. En effet, quelle que soit celle de ces humeurs qui surabonde dans notre boire et notre manger, celle-là cesse d'être agréable; mais celle qui y fait surtout défaut est agréable. Si l'une des sources a besoin d'aliments et de boissons, alors aussi le corps puisera dans ces aliments et boissons jusqu'à ce que le liquide devienne moindre qu'il ne faut; à ce moment on éprouve le désir de manger ou de boire ce qui comblera ce vide et mettra les choses de ni-

J.— [11] γίνηται EGIJ.-γένηται K.-γίνεται vulg.-καὶ ἐν τ. βρ. καὶ ἐν τ. π. K.-ἐκεῖνα FGJK, Ald.— [12] εἰ EHIKP'Q'.-ἦν vulg.-βρωμάτων Lind.-ποτῶν καὶ βρωτῶν H.-πηγαίων EHI.— [13] ὁ E.-ὁ om. vulg.-ἐπιπλήσσει K.-ἢ.... ἱμειρόμεθα om. J.

τι τὴν μοίρην ἐκείνην ἐπιπλήσει καὶ ἰσώσει τῇσιν ἄλλῃσι· καὶ διὰ τοῦτο βεβρωκότες πολλὰ ἢ πεπωκότες, ἔστιν [1]ὅτε ἱμειρόμεθα ἢ βρωτοῦ ἢ ποτοῦ, καὶ ἄλλο οὐδὲν ἂν ἡδέως φάγοιμεν, εἰ μὴ ὅ τι ἱμειρόμεθα· ἐπὴν δὲ [2]φάγωμεν καὶ ἰσωθῇ ἡ ἰκμὰς κατὰ τὰ ἀνυστὰ ἐν τῇσι πηγῇσι καὶ ἐν τῷ σώματι, τότε οἱ πέπαυται ὁ ἵμερος. Καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται.

40. Ἔχει δὲ καὶ τόδε, ὅτι ἐς μὲν τὸ χωρίον τὸ ἐπὶ τῷ ἥπατι ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν ἀποκρίνεται ἡ χολὴ [3]μοῦνον· τὰ γὰρ φλέβια ἀσθενέα καὶ λεπτὰ ὑπάρχοντα οὐ δύναται ἕλκειν τὴν ἄλλην ἰκμάδα παχυτέρην καὶ βαρυτέρην ἐοῦσαν, καὶ ἅμα εὐρυχωρίη οὐκ ἔστι τῇ ἄλλῃ ἰκμάδι, ὥστε ἐν τούτῳ τῷ χωρίῳ εἶναι· σύνηθές τέ ἐστι τῇ χολῇ τοῦτο τὸ χωρίον κατὰ φύσιν μάλιστα, καὶ διὰ τοῦτο ἐν αὐτῷ οὐδεμία νοῦσος γίνεται ἄλλη ἢ ἥντινα καρδιωγμὸν οἱ ἄνθρωποι καλέουσιν. Ἡ δὲ κεφαλὴ καὶ ἡ καρδίη καὶ ὁ σπλὴν μετέχουσι τῆς ἰκμάδος πάσης· [4]ἕκαστον, ἢν μή τι νοσέῃ, μετέχει πλείστων κατὰ φύσιν τὴν ἑωυτοῦ τῶν εἰρημένων, ἡ μὲν κεφαλὴ τοῦ φλέγματος, ἡ δὲ καρδίη τοῦ αἵματος, ὁ δὲ σπλὴν τοῦ ὕδατος· ἕλκουσι δὲ [5]καὶ τῆς ἄλλης ἰκμάδος αἱ φλέβες ἐς ἑωυτὰς, εὐρεῖαι καὶ παχεῖαι καὶ ἑλικοειδέες ἐοῦσαι· ὥστ' ἐπὴν [6]ἕλκωσιν, ἕπεσθαι ἕτερον ἑτέρῳ τῆς ἄλλης ἰκμάδος. Καὶ τῇ μὲν καρδίῃ πλησιάζουσιν αἱ σφάγιαι φλέβες, παχεῖαι ἐοῦσαι, ἐς ἃς διαδίδοται ταχέως, ἐπήν οἱ πλεῖον τοῦ καιροῦ προσγένηται· αἱ δὲ τῷ ἄλλῳ σώματι [7]ἐκδιδόασι· καὶ ἅμα αὐτὴ ἡ καρδίη στερεὴ καὶ πυκνή ἐστιν, ὥστε μὴ νοσέειν ὑπὸ τῆς ἰκμάδος, καὶ διὰ τοῦτο νόσημα ἐν τῇ καρδίῃ οὐδὲν γίνεται. Ἡ δὲ κεφαλὴ καὶ ὁ σπλὴν μάλιστα ἐπίνοσά ἐστι· νοσέει γὰρ καὶ ἀπὸ τῶν φύσει ἐόντων, [8]ὅταν πλείονα προσγένηται τοῦ καιροῦ· νοσέει δὲ καὶ ἀπὸ τῆς ἄλλης ἰκμάδος· φλέβες γὰρ ἐς αὐτὰ παχεῖαί τε καὶ πολλαί εἰσι, καὶ αὐτὰ φλεβώδεα κάρτα ἐστὶ καὶ ἔγκοιλα, ὥστε εὐρυχωρίην καὶ τῇ ἄλλῃ ἰκμάδι ἐν [9]αὐτοῖσιν εἶναι, χωρεούσῃ κατ' ὀλίγον καὶ μισγομένῃ τῇ

[1] Ὅτε HIK', Mack. – ὅ τι vulg. – πότου ἢ βρ. EHIK. — [2] φάγομεν J. – κατὰ ταῦτα ἀνυστὰ vulg. – Lisez κατὰ τὰ ἀνυστά. — [3] μοῦνον HP'Q'v. – μόνον vulg. – δύναται EH. – δύνανται vulg. – εὐριχωρίη Ald. — [4] ἕκαστον δὲ P'. – νοσέει H. – πλεῖστον E. — [5] καὶ om. G. – ἑλικ. IJ. – ὥστε EH. — [6] εἵλκωσιν Ald. – ἐοῦσαι EHIJK. – οὖσαι vulg. – διαδέδοται Ald. — [7] ἐκδιδόασι, ἅμα τῇ καρδίῃ· αὐτὴ δὲ στερεὴ Lind. – αὐτῇ J. – διὰ EFGHIJKQ', Ald., Lind., Mack. – διὰ om. vulg. — [8] ὅτε EHv. – προσγίνεται H. – προσγίνηται EIK. — [9] αὐτοῖσιν EHIJK'Q', Lind., Mack. – αὐτῇσιν vulg.

veau. C'est pour cela qu'ayant mangé ou bu beaucoup, nous désirons parfois un aliment ou une boisson, sans pouvoir prendre avec plaisir rien autre que cela même que nous désirons; et, après avoir ainsi mangé, l'humeur étant devenue égale autant que possible dans les sources et dans le corps, alors le désir s'éteint. Voilà ce que j'avais à dire là-dessus.

40. (*Il ne vient que de la bile à la vésicule hépatique. Mais les trois autres sources peuvent recevoir toutes les humeurs. Ceci a peu d'inconvénient pour le cœur, mais il n'en est pas de même pour la tête et la rate.*) C'est encore un fait que dans le réservoir qui est au foie, il ne vient, des aliments et des boissons, que de la bile; en effet, les veines, étant faibles et menues, ne peuvent tirer l'autre humeur qui est plus épaisse et plus pesante; de plus, il n'y a pas de place, en cet endroit, pour recevoir l'autre humeur; et cet endroit est habitué le plus naturellement à la bile, ce qui fait qu'aucune maladie ne s'y engendre, sauf celle qui est dite cardialgie. Mais la tête, le cœur et la rate participent à toute humeur; chacune de ces parties, en état de santé, a sans doute le plus de celle qui lui appartient naturellement, la tête de phlegme, le cœur de sang, la rate d'eau; toutefois les veines, larges, grosses et tortueuses, attirent aussi à soi une part du reste de l'humeur; de sorte que, par cette attraction, le reste de l'humeur suit de proche en proche. De plus, le cœur est avoisiné par les veines jugulaires, qui sont grosses et qui reçoivent promptement le surplus de ce qui lui arrive en excès; elles, à leur tour, le distribuent au reste du corps; ajoutez que le cœur est solide et compacte, de sorte que l'humeur ne le rend pas malade. Voilà pourquoi aucune maladie ne s'engendre dans le cœur. Mais la tête et la rate sont très-sujettes à maladie; elles s'affectent par l'humeur naturelle, quand celle-ci surabonde; elles s'affectent aussi par le reste de l'humeur; en effet, des veines grosses et nombreuses y arrivent, et elles-mêmes sont très-veineuses et creuses, de sorte qu'il y a de la place même pour le reste de l'humeur venant peu à peu et se mêlant à l'humeur naturelle. De même qu'un grand

φύσει ἐούσῃ· ὥσπερ ἐν ἀγγείῳ μεγάλῳ εὐρυχωρίη ἐστὶ πολλὴ ἢ ἐν μικρῷ, οὕτω [1]δὲ καὶ ἐν τῇ κεφαλῇ ἢ ἐν τῷ σπληνὶ ἔχει· εὐρυχωρίη γὰρ τούτων τῶν χωρίων μάλιστα ἐν αὐτοῖσίν ἐστιν· ἢν [2]δ' ἐμπλησθῶσιν ἰκμάδος αἱ φλέβες αὐτόθι, ἀπ' ἐκείνης ἐν αὐτοῖσι νοῦσος γίνεται. Ταῦτα δέ μοι ἐς τοῦτο εἴρηται νῦν.

41. Ἐθέλω δὲ ἀποφῆναι κάλλιον, ὅκως ἑκάστη ταύτης τῆς ἰκμάδος ἐν τῷ σώματι ἐλάσσων γίνεται. Τέσσαρα μὲν δὴ ὑγρὰ ἐόντα [3]ἀπέδειξα τὸν ἄνθρωπον σινεόμενα, τέσσαρας δέ σφι πηγάς· τέσσαρα δέ σφι λέγω εἶναι, οἷσιν ἀποκαθαίρεται ὁ ἄνθρωπος τούτων ἕκαστον· ταῦτα δέ ἐστι τό τε στόμα καὶ αἱ ῥῖνες καὶ ὁ ἀρχὸς καὶ ἡ οὐρήθρη. Καὶ ἐπήν τις πλείων γένηται τῆς ἰκμάδος τῆς πονεούσης, ἣν ἀποκαθαίρηται ὁ ἄνθρωπος ταύτῃ, οὐδεμία [4]μιν νοῦσος πιέζει ἀπὸ ταύτης· καὶ ἢν ἡ κοιλίη [5]μὴ πλήρης ᾖ, τηκομένου τοῦ σώματος, ἀπὸ τῆς ἰκμάδος καταῤῥέει ἐς αὐτὴν, καὶ ἔξω ἔρχεται κατά τι τῶν χωρίων τούτων, καὶ διὰ ταῦτα τὸ ὑγρὸν ἔλασσον γίνεται ἐν τῷ σώματι. Τὸ γὰρ σῶμα, ὥσπερ μοι καὶ πρότερον εἴρηται, τῇ κοιλίῃ ἐπιδιδοῖ, ἐπὴν κενεὴ [6]ἔῃ, καὶ ἐπαυρίσκεται, ἐπὴν πλήρης ἔῃ, ἀπ' αὐτῆς. Ταῦτα δέ μοι εἴρηται ὅκως τε καὶ διότι ἐλάσσονα [7]γίνεται τὰ πονέοντα τὸν ἄνθρωπον.

42. Ὅκως δὲ καὶ διὰ τί ὁ ἄνθρωπος ὑγιαίνει, ἐρέω. Ἐπὴν φάγῃ καὶ πίῃ καὶ ἀφίκηται ἡ ἰκμὰς [8]ἐς τὸ σῶμα, τρόπῳ ὥσπερ εἴρηται μιγεῖσα καὶ τῇ ἄλλῃ [9]τῇ ἐν τῷ σώματι καὶ τῇ [10]ἐν τῇ πηγῇ ἐούσῃ, τῇ μὲν ἡμέρῃ [11]ᾗ προσγένηται μένει ἐν τῷ σώματι, [12]τῇ δὲ ὑστεραίῃ ἄλλῃ οἱ ἰκμὰς προσγίνεται. Αὗται δύο μὲν ἡμέραι εἰσί· [13]δύο δὲ ἰκμάδες ἐν τῷ σώματι· τῇ μὲν ἑτέρῃ τῶν ἰκμάδων δύο ἡμέραι εἰσὶ, τῇ δὲ ἑτέρῃ μία. Ἡ μὲν δὴ [14]ὑστέρη μένει ἐν τῷ σώματι ἅτε παχεῖα ἐοῦσα, ἡ δὲ ἑτέρη πεφθεῖσα ὑπὸ τῆς θέρμης διακέχυται, καὶ λεπτὴ

[1] Δὴ Lind. – καὶ om. K. – τῶ EFGHIJKQ', Ald., Mack. – τῷ om. vulg. — [2] δ' ἐμπλησθῶσιν EHv. – δὲ πλησθῶσιν vulg. – αἱ φλέβες ἰκμ. E. – νόσος G. — [3] ἀπέδειξε FG, Ald. – τέσσαρας δέ σφι πηγὰς λέγω vulg. – τέσσαρας δέ σφι (σφισι E) πηγὰς τέσσαρας δὲ σφι λέγω EGHIJK, Ald. – οἷσιν EGHIJK, Ald., Frob., Mack. – ᾗσιν vulg. – Je crois que la leçon des mss. est bonne, en lisant τέσσαρα au lieu du second τέσσαρας. — [4] μιν om., restit. al. manu E. — [5] μὴ om. vulg. – μὴ me paraît exigé par tout le contexte. — [6] εἴη E. — [7] γίνεται EHK. – γίνηται vulg. – γίνονται G, Ald. – ὑγιαίνει EHIK. – ὑγιαίνοι J. – ὑγιαίνῃ vulg. – ἐρέω EHIJKLP'v, Lind., Mack. – ἐρῶ vulg. — [8] εἰς IJK. — [9] καὶ τῇ vulg. – καὶ om. EH. — [10] ἐν τῇ om. FGK. — [11] ἢ J. — [12] ἐς δὲ

vase a plus de capacité qu'un petit, de même la tête et la rate en ont plus que le reste; en effet, de ces réservoirs, ce sont les plus spacieux; et si, là, les veines s'emplissent d'humeur, cette humeur y cause des maladies. Voilà ce que j'avais à dire là-dessus présentement.

41. (*L'auteur explique comment les quatre humeurs diminuent dans le corps.*) Je vais mieux expliquer comment chacune de ces humeurs devient moindre dans le corps. Quatre humeurs, comme je l'ai montré, causent du mal, et elles ont quatre sources; j'ajoute que, par quatre voies, le corps se débarrasse de chacune d'elles. Ces voies sont la bouche, les narines, l'anus et l'urèthre. Quand quelqu'une des humeurs surabonde et fait souffrir, si le sujet se purge par là, il n'en résulte aucune maladie; et, si le ventre n'est pas plein, le corps, se fondant, y verse de l'humeur qui s'en va par quelqu'une de ces parties. C'est ainsi que l'humeur devient moindre dans le corps. En effet, le corps, ainsi que je l'ai déjà dit, donne au ventre quand le ventre est vide, et puise au ventre quand le ventre est plein. Ainsi j'ai dit comment et pourquoi ce qui fait souffrir diminue de quantité.

42. (*Comment la santé s'entretient. Un cycle de trois jours préside à la nutrition.*) Maintenant, je vais dire comment et par quelles influences la santé s'entretient. Quand on a mangé et bu et que l'humeur pénètre dans le corps, se mêlant, de la façon que j'ai dit, à l'humeur qui est déjà dans le corps et à celle qui est dans la source, elle demeure dans le corps le jour où elle est arrivée. Mais le lendemain survient une autre humeur. Cela fait deux jours et deux humeurs. L'une des humeurs a deux jours de séjour et l'autre un. Celle-ci demeure dans le corps, étant épaisse; celle-là, étant mûrie par la chaleur, est diffusible, et, devenant légère, elle se trouve le lendemain dans le ventre; chassée qu'elle est constamment par

τὴν ὑστεραίην EP'Q'v. – οἱ om. G, Ald. – ἡ pro οἱ J. — [13] δύο.... εἰσὶ om. FGIJK. — [14] ὑστέρη EFGIJK, Ald. – ὑστεραίη vulg. – ὑστερέη H. – Post μένει addunt αὕτη EH, (Mack, αὐτή). – δ' EH.

γενομένη παραγίνεται ἐν τῇ [1] ὑστεραίῃ ἡμέρῃ ἐς τὴν κοιλίην, διὰ παντὸς τοῦ χρόνου ἐξωθευμένη ὑπὸ τῆς νέης· ἐλθοῦσα δὲ ἐς τὴν κοιλίην πέσσει τὰ σιτία ἐν τῷ τόπῳ, καὶ [2] ποιέει τὸ αἷμα ἀπ' αὐτῆς ἐν τῷ σώματι· μείνασα δὲ ἐγένετο ὑπὸ τοῦ χρόνου κάκοδμος. Τῇ δὲ τρίτῃ [3] ἡμέρῃ ἐξέρχεται σὺν τῇ κόπρῳ καὶ τῷ οὔρῳ, πλῆθος αὐτὴ ἑωυτῇ πάσῃ ἴση τε καὶ παραπλησίη καὶ ἰσόῤῥοπος· [4] καὶ ἢν ἑωυτῆς μέρος τι ἔῃ, [5] ὅμως ἡ ἰκμὰς μένει ἐν τῷ σώματι κατὰ λόγον τὸν εἰρημένον. Ἐπιῤῥέει δὲ καὶ τῇ τρίτῃ ἡμέρῃ τῆς ἰκμάδος ἀπὸ τοῦ σώματος ἐπὶ τὴν κοιλίην πλεῖον καὶ [6] κακοδμότερον τὸ ἐπιλειπὲς γενόμενον ὑπὸ τῆς ἑτέρης, καὶ καταφέρει τὰ βρώματα πεπεμμένα καὶ ὅ τι ἐν τῷ σώματι νοσερόν ἐστι, καὶ αὖθις συνέρχεται· σημαίνει δὲ τὸ οὖρον ἁλμυρὸν ἐὸν, ὅτι [7] καὶ καταφέρει ἀπὸ τοῦ σώματος τὸ νοσερόν. Τὰ σιτία δὲ ἐς τὴν ὑστεραίην ἀεὶ διαχωρέει, ἡ δὲ ἰκμὰς ἐς τὴν τρίτην. [8] Οὕτως ἡ ὑγιείη συμβαίνει γίνεσθαι. Καὶ ταῦτα μὲν εἴρηται, ὅκως τε καὶ διότι ὑγιαίνουσιν οἱ ἄνθρωποι.

43. Ἡ δὲ ἰκμὰς αὕτη [9] εἰ κατὰ μέρος ἔξω χωρέοι [10] ἐς τὴν ὑστεραίην, τὰ σιτία οὐχ ὁμοίως ἂν ἡμῖν ἐκ τῆς κοιλίης κάκοδμα γενόμενα ἔξω χωρέοι, ἀλλ' ὥσπερ ἑφθὰ, καὶ τὸ οὖρον τῷ ποτῷ παρόμοιον, [11] καὶ τὸ σῶμα ἂν ἐκενοῦτο ἀεὶ, καὶ ἔχρηζε διὰ παντὸς τοῦ χρόνου ὁ ἄνθρωπος, ἐπὴν ἀποπατήσειε καὶ οὐρήσειεν, αὐτίκα πόσιος καὶ βρώσιος [12] κατὰ τοῦ ἀποπάτου πλῆθος, εἰ ἔμελλεν ἰσχύειν, ἰκμάδος [13] μὴ ὑπολειπομένης ἐν τῷ σώματι ἀρκεούσης, ἀλλὰ χωρεούσης σὺν τῇ κόπρῳ ἔξω τῇ ὑστεραίῃ ἢ τῇ αὐτῇ ἡμέρῃ· καὶ εἰ μέν τι ἔφαγεν· [14] εἰ δὲ μὴ, κενωθεὶς ἄχικύς τε ἦν, οὐδ' ἂν δύναιτο παχυνθῆναι, εἰ ἡ ἰκμὰς τῇ ὑστεραίῃ ἔξω χωρέοι· οὐ γὰρ περιλιμπάνεται ἐν τῷ

[1] Ὑστερέη G, Ald. – ἡμέρα E. – ἐς EH. – εἰς vulg. — [2] ποιέει EHQ', Mack. – ποιεῖ vulg. — [3] ἡμέρῃ EHIJK, Lind., Mack. – ἡμέρᾳ vulg. – ἔρχεται ἔξω EFIJLP'Q'v. – αὐτὴ IK, Lind. – αὐτῇ vulg. — [4] κἂν Vaticani Codd. ap. Mack. – εἴη vulg. – Lisez ἔῃ. — [5] ὅκως Ald. – ἐν τ. σ. om. K. — [6] κακοδμοδέστερον F (GI, μω) JKQ'. – ἐπιλειπὲς EGHIJK, Mack ex Æm. Porto. – ἐπιλοιπὲς vulg. – δευτέρης Lind. — [7] καὶ om. EL, Lind. – νοσερὸν τὰ σιτία. Ἐς δὲ vulg. – νοσερόν. Τὰ σιτία δὲ ἐς Lind. – Cette correction de Lind. me paraît très-bonne. – ὑστερέην G. – ὑστέρην Ald. — [8] οὕτω Lind. – ἡ EGHIKL, Ald., Lind., Mack. – ἡ om. vulg. – ὑγείη IJ. — [9] εἰ, al. manu οὐ J. – χωρέει J. — [10] ἐς.... χωρέοι om. J. – ἡμῖν EHv. – ἡμῖν om. vulg. – χωρέοι EK, Mack. – χωρέει vulg. – ἑφθὸν al. manu J. — [11] καὶ erasum, et al. manu τὸ γὰρ J. – ἀνεκαινοῦτο vulg. – ἀνεκενοῦτο (E, al. manu ἀνεκαινοῦτο) HIL. – ἂν ἐκενοῦτο KP', Foes cum interprett., Lind., Mack. – ἔχριζε J. – ἀποτήσειε, al.

l'humeur récente. Venant dans le ventre, elle cuit les aliments qui y sont, et en fait le sang du corps. Son séjour la rend fétide. Le surlendemain elle sort avec les excréments et l'urine, en quantité parfaitement égale à elle-même, semblable et correspondante; et, bien que ce n'en soit qu'une partie, néanmoins l'humeur séjourne dans le corps conformément au calcul ci-dessus. Puis, le troisième jour encore, il s'écoule du corps dans le ventre une portion de l'humeur plus abondante et plus fétide, celle qui était restée; elle emporte les aliments digérés et ce qui est morbide dans le corps, et s'en va avec l'autre. L'urine, qui est salée, montre qu'elle débarrasse aussi le corps de ce qui est morbide. Les aliments sont toujours expulsés le lendemain, et l'humeur le surlendemain. C'est de la sorte que la santé s'entretient. Ainsi j'ai expliqué comment et pourquoi les hommes se portent bien.

43. (*L'auteur explique comment la vie exige le cycle de trois jours.*) Quant à cette humeur, si elle sortait partiellement le lendemain, nos aliments seraient expulsés hors du ventre non pas fétides, ainsi qu'ils sont, mais comme bouillis, l'urine serait semblable à la boisson, le corps se viderait sans cesse et réclamerait perpétuellement, aussitôt après l'expulsion des selles et de l'urine, un nouveau renfort d'aliments et de boissons, en proportion des déjections; autrement, les forces ne

manu ἀποπατήσειε H. - βρώσιος καὶ πόσιος K. — [12] κατὰ (addunt δὲ Jv, exempl. Vatic. ap. Foes, Foes in not., Lind.) τὸν ἀπόπατον (τοῦ ἀποπάτου Lind.) πλῆθος (κατὰ τὸ τοῦ ἀποπάτου πλῆθος Mack; κατὰ τὸν ἀπόπατον, πλῆθος εἰ K') (πλῆθος erasum, et οὐκ al. manu pro πλῆθος J), ἔμελλεν vulg. - La correction τοῦ ἀποπάτου est évidente; quant au reste, K' me paraît avoir mis le doigt sur la vraie leçon : il faut ajouter εἰ. — [13] μὴ om., restit. al. manu E. - ἔξω σὺν τῇ κό. K. - ἡμέρα G. — [14] ἢ pro εἰ G. - (καὶ addit Lind.) κενωθεῖσα ἄκικύς (ἄκηκύς GHJK, Ald.) τε (τ' H) ἦν οὐδ' (οὐκ EHQ', Lind.; καὶ οὐκ al. manu J) δύναιτο παχυνθῆναι ἡ (ἡ om. E) ἰκμὰς τῇ ὑστεραίῃ ἔξω χωρέειν (ἦν ἰκμὰς.... χωρέει conjicit Mack) vulg. - κενωθεὶς ἄκικύς τε ἦν, οὐδ' ἂν δύναιτο παχυνθῆναι ἡ ἰκμὰς, οὔτε τῇ ὑστεραίῃ ἔξω χωρέειν sic emendat Koen. ad Gregor. de Dial., p. 49, Lips., 1811. - κενωθεὶς est une correction évidente. Quant au reste, je crois que εἰ est tombé devant ἡ ἰκμ. par l'effet de l'iotacisme, comme dans E ἡ lui-même a été omis. L'admission de εἰ entraîne le changement de χωρέειν en χωρέοι.

σώματι ἀρκέουσα. Νῦν [1]δὲ ἐξαποπατέοντες εὐροοῦμεν, καὶ δύο ἡμερέων μηδὲν φαγόντες καὶ εἶναι καὶ πρήσσειν τι ὑπομένομεν, καὶ οὐκ [2]ἐξασθενέομεν τελείως ὑπὸ κενώματος ἐν τούτῳ τῷ χρόνῳ· ἡ γὰρ ἰκμὰς ἡ ἐν τῷ σώματι μένουσα τὴν ἰσχὺν παρέχει. Καὶ ταῦτα μὲν εἴρηταί μοι, ὅκως [3]τε καὶ διότι οὐχ οἷόν τε τὴν ἰκμάδα τὴν προσγενομένην ἀπὸ τῆς τροφῆς ἐν τῷ σώματι ἐξελθεῖν ἔξω αὐθημερὸν, ἀλλ' οὐδὲ τῇ ὑστεραίῃ.

44. Φημὶ δὲ ἤν τε ἐμμένῃ πλείονας [4]τῶν τριῶν ἡμερέων ἡ ἰκμὰς ἐν τῷ σώματι, [5]ἢ ἄλλη προσγένηται πολλὴ πιμπλαμένη, τῶν φλεβῶν θερμαινομένων καὶ ἱσταμένων, ἐπισημαίνει τῷ ἀνθρώπῳ κακὸν ἢ μεῖζον ἢ ἔλασσον, χειμῶνος μὲν ἔλασσον καὶ ὕστερον, θέρεος δὲ μεῖζον καὶ πρόσθεν. Ταῦτα δέ μοι εἴρηται [6]ὅ τι συμβαίνει γίνεσθαι, ἢν μένῃ ἡ ἰκμὰς ἐν τῷ σώματι. Εἰ δὲ [7]τὰ βρώματα διαχωρέοι τὸ σῶμα, οὐκ ἂν ἐπαυρίσκοιτο ἡμῖν τῆς ἰκμάδος ἐπαρκέον, ἀλλ' ἦσαν οἱ ἄνθρωποι λεπτοὶ καὶ ἀσθενέες· νῦν δὲ ἐμμενόντων τῶν βρωμάτων καὶ τῶν ποτῶν, ὁκόσον χρόνον διαμένει, τὸ σῶμα ἐπαυρίσκεται [8]καθ' ἡσυχίην ἕλκον ἀπὸ τῆς κοιλίης, καὶ πίμπλαται. Ταῦτα δέ μοι εἴρηται ὅκως τε καὶ διότι τὰ βρώματα οὐχ οἷά τέ ἐστιν αὐθημερὸν ἐξιέναι. Ἢν [9]δὲ ἐμμένῃ τὰ σιτία ἐν τῇ κοιλίῃ πλείονα τοῦ δέοντος χρόνου καὶ ἕτερα ἐς αὐτὰ πίπτῃ, τὸ σῶμα πληρωθείη ἂν, καὶ, πιεζευμένων τῶν φλεβῶν ὑπὸ τῆς πληθώρης, θέρμη ἂν καὶ πόνος τῷ σώματι παραγίνοιτο, θέρεος μὲν θᾶσσον, χειμῶνος δὲ ὕστερον. Τοῦ μὲν γὰρ θέρεος [10]τὸν ἄνθρωπον θερμόν ἐστι τὸ περιέχον, καὶ θερμότερον ἕλκει τὸ [11]πνεῦμα ἐς ἑωυτόν· κἢν ἔτι θερμῆς τῆς κοιλίης ἐούσης θερμότερον τοῦ καιροῦ τὸ πνεῦμα τῷ ἀνθρώπῳ προσγίνηται, οὐ θαῦμά ἐστι τὸν ἄνθρωπον ἐκ τοῦ τοιούτου [12]πυρετῆναι· χειμῶνος δὲ

[1] Δ' EH. – εὐρωοῦμεν legit Foes in not. – εὐρωστοῦμεν K', Lind., Mack. – Il n'y a rien à changer, εὐροεῖν ayant aussi la signification d'*être en bon point*. — [2] ἐξασθένομεν (sic), al. manu ἐξασθενοῦμεν J. — [3] τε om. FGIJ. – περ pro τε EHv. – ἀπὸ τῆς τροφῆς J. – ἀπὸ τ. τρ. om. vulg. – αὐθημερὸν ἐξελ. ἔξω J. – ἀλλ' om. EP'. — [4] τῶν om. E. – ἡμερέων HJ. – ἡμερῶν vulg. – Ante ἐν addit ἡ E. — [5] ἢ L. — [6] ὅτι vulg. – ἡ om. EGIJ, Ald. — [7] τὰ Lind. – τὰ om. vulg. – διαχωρέει vulg. – ἐπαυρίσκετο vulg. – ἐπαυρίσκοιτο E (H, al. manu) KP'. — [8] Ante καθ' addit καὶ λαμβάνῃ J. – ἡσυχίην EH. – ἡσυχίαν vulg. – αὐθημερῶν J. — [9] δ' EH. – κοιλία G. – δοκέοντος Hv. – πίπτει G, Ald. — [10] τὸν ἄνθ. om. K'. — [11] πνεῦμα EHQ'v, Lind., Mack. – σῶμα vulg. – ἑωυτὸ Lv, Lind., Mack. – προσγίνεται K. — [12] πυρεττῆναι GIJK, Frob. – πυραιτῆναι H. – ψυχρὸν δὲ χειμ. E.

seraient pas entretenues, l'humeur ne demeurant pas en quantité suffisante dans le corps, mais sortant avec les excréments le lendemain ou le jour même. Et si l'on mangeait, on serait soutenu; mais, si l'on ne mangeait pas, on serait vide et débile, et l'on ne pourrait prendre de l'embonpoint, vu que l'humeur serait évacuée le lendemain, sans qu'il en restât suffisance dans le corps. Mais maintenant, tout en allant à la selle, nous sommes pleins de force; et, restant deux jours sans manger, nous sommes en état de vivre et de faire quelque chose, l'évacuation ne suffisant pas pour nous rendre absolument faibles en cet intervalle; car l'humeur qui séjourne dans le corps nous fournit de la vigueur. Ainsi, j'ai expliqué comment et pourquoi il est impossible que l'humeur provenue de la nourriture sorte le lendemain, bien loin de sortir le jour même.

44. (*Inconvénients qui surviennent quand les fluides nourriciers dépassent dans le corps le cycle de trois jours.*) Maintenant j'ajoute que, si l'humeur reste plus de trois jours, ou s'il en vient un excès qui emplisse tout, les veines s'échauffent et s'obstruent, annonçant un mal plus ou moins grand, moindre et plus tardif en hiver, plus fort et plus hâtif en été. Voilà ce qui arrive quand l'humeur séjourne dans le corps. Si les aliments ne faisaient que traverser le corps, on ne profiterait pas suffisamment de l'humeur, et l'on serait maigre et faible; mais, les aliments et les boissons y demeurant tout le temps qu'ils y demeurent, le corps en profite, puisant peu à peu au ventre et se remplissant. Ainsi j'ai expliqué comment et pourquoi les aliments ne peuvent pas être expulsés le jour même. Mais, si les aliments demeuraient dans le ventre plus longtemps qu'il ne faut et que d'autres vinssent en surcharge, le corps s'emplirait, et, les veines étant pressées par la plénitude, il se produirait chaleur et souffrance, en été plus vite, en hiver plus tard. En effet, dans l'été, le milieu ambiant est chaud, et l'air qu'on aspire a trop de chaleur; si, le ventre étant chaud, un air ayant un excès de chaleur s'ajoute, il n'est pas éton-

ψυχρὸν ἕλκοντός τὸ πνεῦμα ἐς ἑωυτὸν, μᾶλλον πολλῷ δύναιτ' ἂν τὴν πληθώρην ἀναφέρειν τὸ σῶμα τοῦ ἀνθρώπου ἀποπατέοντος ὀλίγον. Ταῦτα δέ μοι εἴρηται [1]ὅ τι συμβαίνει γίνεσθαι, ἢν μὲν μείνῃ τὰ σιτία πλείονα χρόνον ἐν τῇ κοιλίῃ, καὶ παρέψαυσταί μοι ἀποφῆναι ἅπαντα περὶ τῆς ἰκμάδος καὶ τῆς βρώσιος, τοῦ χρόνου τοῦ πλείονος καὶ τοῦ ἐλάσσονος τὸ διαφέρον, διότι νοσέουσιν οἱ ἄνθρωποι· [2]δηλώσω δὲ περὶ τούτου κάλλιον τοῦ χρόνου προϊόντος.

45. Ἀναβήσομαι δ' αὖθις ὀπίσω περὶ τῆς ὑγιείης ἐρέων, ὅτι δὴ τὸ σῶμα τοῦ ἀνθρώπου ἀπὸ τῶν βρωτῶν καὶ τῶν ποτῶν τῆς ἰκμάδος ἐπαυρίσκεται, καὶ χωρέει ἔξω τῷ ὑγιέϊ κατὰ τὸν εἰρημένον λόγον τά τε βρώματα καὶ ἡ ἰκμάς. Καὶ ἢν μὲν ἔξω χωρέῃ τῆς ἰκμάδος πλεῖον ἢ ὅσον προσεγένετο [3]ἀπὸ τῶν σιτίων καὶ [4]τῶν ποτῶν, λεπτὸς γίνεται ὁ ἄνθρωπος. Πλείω δὲ χωρέει ἔξω τῆς προσγενομένης διὰ τόδε· ἢν μὲν δι' ἡσυχίης ᾖ ὁ ἄνθρωπος καὶ μὴ [5]ταλαιπωρέῃ, κακόν τί οἱ ἐν τῷ σώματι ἔνεστιν, ὑπὸ δὲ τῆς ἄλλης ὑγιείης πολλῆς ἐούσης οὐκ ἐσάσσει χάρτα· τὸ δὲ κακὸν τοιόνδε ἐστίν· ἐπὴν τούτων τι τῶν τεσσάρων τῶν [6]γινομένων τῷ σώματι ἐπέλθῃ πλέον τι μὴ πολλῷ, τὸ σῶμα θερμαίνεται καθ' ἡσυχίην, ὡς μὴ [7]ἐσάσσειν χάρτα, καὶ τήκεται ἐς τὴν κοιλίην, καὶ τὸν σῖτον ἀηδέα τῷ ἀνθρώπῳ ποιέει· ἢν δὲ πλέων ἔῃ [8]ἰκμὰς ἡ ἑτέρη τῆς ἑτέρης, πυρετὸς ἐκ τούτου τῷ ἀνθρώπῳ [9]προσγίνεται· ἀλλὰ περὶ τούτου ἀτρεκέστερον ὀλίγῳ ὕστερον ἀποφανέω. Ἔστι δ' ὅτε καὶ τοῦ σίτου ἐόντος ἡδέος λεπτὸς γίνεται ὁ ἄνθρωπος, αἴτιον δὲ τὸ αὐτό. Τούτων δὲ [10]γενομένων ἐξέρχεται τῆς ἰκμάδος πλέον ἢ κατατάσσεται· καὶ διὰ ταῦτα τῷ μὲν ἡσυχάζοντι συμβαίνει λεπτῷ γίνεσθαι. Ταλαιπωρεόντων δὲ τῶν ἀνθρώπων καὶ τὸ σῶμα θερμαίνεται· καὶ γὰρ ἀπὸ τῆς ταλαιπωρίης τούτου θερμαινομένου καὶ

[1] Ὅτι vulg. – ἢν μὲν μ. om., restit. al. manu H. – μένῃ EIJK. – παρέψαυσται Lind., Mack. – παρεψαῦσται vulg. – παρεψαῦσθαι GHIJ. – παρέψεσθαι EP'Q'. – διαβρώσιος EHQ', Lind. — [2] δηλῶσαι K. – ὑγιείης EH. – ὑγείης vulg. – τῶν π. κ. τῶν βρ. H. — [3] Post ἀπὸ addunt καὶ GJK, Mack. — [4] τῶν om. E. – ἔξω EHv. – ἔξωθεν vulg. – προγεγενημένης IJK. — [5] ταλαιπωρίῃ GJK. – οἱ I. – ἐσάσει vulg. (K, in marg. ἀτονήσει). — [6] προσγινομένων K'. – θερμαίνηται GJK, Ald., Frob. — [7] ἐσάσειεν vulg. – ἐσάσειν (E, al. manu ἐσάσειεν) IJKL, Ald. – ἐσάσει Mack. – ἐν τῇ κοιλίῃ vulg. – ἐς τὴν κοιλίην (H, al. manu ἐν τῇ κοιλίῃ) v. – τὸν om. E. – πλέον vulg. – πλέων Mack. – εἴη vulg. — [8] ἡ ἰκμὰς vulg. – ἡ om. EFGHK, Ald. – τοιούτου E. — [9] γίνεται (E, al. manu προσ) FIJK. – ὀλίγον EFHIJK. – σιτίου exempl. Vaticana, Mercur. in marg. — [10] γιν. EH. – ξυμβαίνῃ Lind.

nant que la fièvre s'ensuive. Mais, en hiver, l'air aspiré étant froid, on peut bien davantage supporter la plénitude qui résulte de selles peu abondantes. Voilà ce qui arrive quand les aliments séjournent trop longtemps dans le ventre. J'ai touché en passant à tout ce qui regarde l'humeur, la nourriture, les différences du temps en plus et en moins, et d'où viennent les maladies; j'expliquerai cela mieux plus tard.

45. (*Explication de la diminution des humeurs et de leur augmentation. Très-grande ressemblance avec les explications du troisième livre* du Régime; *il se pourrait que ces deux écrits fussent de la même main. C'est sur le cycle des trois jours qu'est fondée l'opinion de l'importance des jours impairs.*) Je reviens au sujet que je traitais, la santé. Le corps profite de l'humeur fournie par les aliments et les boissons; et aliments et humeur, chez l'individu bien portant, sont expulsés suivant le calcul exposé ci-dessus. S'il sort plus d'humeur qu'il n'en est entré par les aliments et les boissons, on maigrit. Or, il en sort plus qu'il n'en arrive, par cette cause : si l'individu garde le repos et ne travaille pas, il y a en lui quelque mal, seulement la santé, qui est bonne du reste, l'empêche de le sentir. Voici quel est ce mal : si à l'une des quatre humeurs qui nous sont propres, arrive un surcroît, mais peu considérable, le corps s'échauffe peu à peu, de manière à ne pas s'en ressentir beaucoup, il se fond dans le ventre et ôte l'appétit; et, si une des humeurs est en excès sur une autre, la fièvre en est la suite. Mais j'expliquerai cela exactement un peu plus bas. Parfois, même, l'appétit étant conservé, l'individu maigrit; la cause en est la même. En cet état, il sort plus d'humeur qu'il n'en est employé. C'est pour cela qu'un homme qui garde le repos maigrit (*comp.* du Régime, III, § 70 à 75). Mais, quand on se livre au travail, le corps s'échauffe; le corps étant ainsi échauffé par le travail, l'humeur qui est en lui devient diffusible et ténue; cessant d'être utile, elle coule et dans le ventre et dans la vessie qui l'expulsent; une autre partie s'exhale au dehors par les interstices intérieurs; une autre partie encore qui reste,

[1]ἡ ἰκμὰς ἐν αὐτῷ διαχέεται, καὶ γίνεται λεπτή· ἀχρεῖος δὲ γενομένη καταῤῥέει [2]καὶ ἐς τὴν κοιλίην καὶ [3]ἐς τὴν κύστιν, ταῦτα δὲ διηθέει ἔξω· τὸ [4]δέ τι αὐτῆς διατμέει ἔξω, διὰ τοῦ ἔνδον ἀραιώματος· τὸ [5]δέ τι καὶ ἐμμένον ἱδρὼς γενόμενος ἔξω χωρέει κατὰ τὸ σῶμα. Ὡσαύτως δὲ καὶ τὰ γυμνάσια τῶν νέων τὸ αὐτὸ τῇ ταλαιπωρίῃ προσεξεργάζεται. [6]Ἢν δὲ ἔῃ ἐλάσσων ἡ ἰκμὰς τῆς πρότερον ἐξιούσης, μὴ προσγίνηται δὲ ἔτι ἄλλη ἀπὸ τῶν ποτῶν καὶ προσέτι ἀπὸ τῶν βρωτῶν, λεπτὸς γίνεται διὰ ταῦτα ὁ ἄνθρωπος· ἐλάσσων δὲ προσγίνεται, ἢν μὴ ἄλλο τι δύνηται ἐσθίειν. Καὶ πρὸς [7]μὲν τὸ πονέειν κατὰ τὴν προτέρην ταλαιπωρίην ἢ γυμνασίην ἄλλοισιν ἄλλα ἐλάσσων γίνεται. [8]Ἐπιγίνεται δὲ κατὰ τὴν βρῶσιν εὐεξίη διὰ τόδε· ἐπὴν αὐαίνηται ἐν τῷ τῆς ἰκμάδος χρόνῳ, καὶ ἐν τῇ προτέρῃ ταλαιπωρίῃ [9]ἐξέλθῃ πρότερον ἑτέρη τῆς ἑτέρης ἔστιν ὅτε πλείων, καὶ κρατέῃ μίη ἄλλη τῶν ἄλλων κάρτα, πληθώρης ἐστίν· [10]ἢν μὲν δὴ ὑπὸ πολλῶν κάρτα κρατέηται, πῦρ ἐκ τοῦ τοιούτου τρόπου γίνεται· ἢν δὲ [11]ὑπὸ ὀλίγων, ὀλίγα· καὶ τὸ σῶμα δὲ οὕτως ἀναφέρειν δύναται, [12]τῆς ὑγρότητος πλείονος αὐτῷ ἐνεούσης, [ὥστε αὐθημερὸν] τὴν θέρμην ἀπολύεται· θερμαίνεται γὰρ τὸ σῶμα τῷ πυρί. Κἢν μὲν ὀλίγον ἔῃ τὸ λυπέον, τῇ τρίτῃ ἡμέρῃ μεθῆκε τρόπῳ τῷ αὐτῷ, τὰς δὲ δύο ἔχει συνεχέως· ἢν δὲ [13]πλεῖον, πέμπτῃ ἡμέρῃ· τὰς δὲ τέσσαρας ἔχει κατὰ λόγον· οὕτω τῶν ἡμερέων αἱ νοῦσοι [14]κρίνονται, ἢν μεθῇ τὸ πῦρ.

[1] Ἡ om. GIJ. – καὶ γίνεται ἡ νοῦσος ἥδε (ἤδει L) λεπτὴ vulg. – Quoiqu'il soit dur de retrancher trois mots sans pouvoir en expliquer l'intrusion dans le texte, cependant ἡ νοῦσος ἥδε me paraissent tellement superflus et gêner si fort le rapprochement, évident ce semble, de ἰκμὰς et de λεπτὴ, que j'ai supprimé ces trois mots. – Remarquez ἀχρεῖος sans variante pour le féminin. — [2] καὶ om. EFHIJK. – εἰς IJK. — [3] εἰς IJK. — [4] τὸ δ' αὐτῆς K. – τὸ δὲ δι' αὐτῆς vulg. – τὸ δέ τι αὐτῆς K'. – τὸ δὲ δὴ αὐτῆς Foes in not., Lind. – διατμεῖ EH. – ἀρεώματος J. — [5] δέ τι EH. – δ' ἔτι vulg. – προσεξεργάζεται EHP'Q', Lind. – προσεργάζεται vulg. — [6] ἢν δὲ καὶ (καὶ om. K) μὴ (μὴ om. Lv, Lind., Mack) ἔῃ ἐλ. ἡ (ἡ om. E) ἰ. τ. π. ἐ., προσγινομένη (προσγίνεται E, H in marg. al. manu προσγινομένη, Q'v, Lind.) τε (δὲ Lind.) ἔτι (ἔτι om., restit. al. manu H) ἄλλη vulg. – Ce qui m'a décidé à recevoir la correction qui supprime μὴ devant ἐλάσσων, et à suppléer un μὴ devant προσγίνεται, c'est, une ligne plus bas, la reprise : ἐλάσσων δὲ προσγίνεται. Cela m'a paru déterminer le sens. – βρωμάτων EP'Q'. — [7] μὴ pro μὲν K', Foes in not., Mack. – ἐλάσσω Mack. – ἐλάσσονα K'. – ἔλασσον vulg. – γίνηται G, Ald. – δύνηται (H, al. manu δύναται) IL. – Je lis ἐλάσσων. Au reste le texte en tout ceci est bien peu assuré. L'auteur veut expliquer pourquoi l'on maigrit en gardant le repos et en travaillant. Dans le premier cas,

devient sueur et sort par le corps. Les exercices ont, pour les jeunes gens, les mêmes résultats que le travail pour les autres. Mais si l'humeur est moindre que celle qui vient de sortir, sans qu'une nouvelle soit fournie par les aliments et les boissons, l'individu maigrit; or, elle arrive en moindre quantité, s'il ne peut manger quelque autre chose. Ainsi, en conformité avec une souffrance qui, causée par un travail ou un exercice antécédents, porte chez les uns sur une partie, chez les autres sur une autre, l'humeur devient moindre. Quant à la pléthore, l'alimentation la produit de cette façon : la dessiccation s'étant faite dans le temps voulu par l'humeur, si dans le travail antécédent une humeur sort avant l'autre, abondamment parfois, et qu'une humeur l'emporte de beaucoup sur les autres, alors il y a pléthore (*comp.* du Régime, III, § 76-84). Si la différence en plus est très-considérable, la fièvre en est la suite; si la différence en plus est petite, l'affection est petite aussi; et le corps peut la supporter vu l'abondante humidité qui est en lui, de manière à se débarrasser de la chaleur le jour même; la fièvre, en effet, échauffe le corps. Si ce qui nuit est peu abondant, la délivrance s'en opère le troisième jour de la même façon, la fièvre est continue pendant deux jours;

l'*humeur* est trop abondante, cela amène une *fonte* dans le ventre, l'appétit se perd, et l'individu maigrit. Dans le second cas, la déperdition est plus grande que la restauration, l'appétit se perd encore, et l'amaigrissement survient. Mais ce qui ajoute à l'obscurité de ces futiles explications, c'est que le travail produit aussi la pléthore par le même mécanisme, à savoir en diminuant une humeur et laissant prédominer une autre.— [8] ἐπιγίνεται EGHIJK, Ald., Foes in not., Lind., Mack.-ἐπιγίνηται vulg.-τὸ pro ἐν τῷ K', Mack.-Il faut entendre εὐεξίη dans le sens de pléthore; l'auteur le dit lui-même deux lignes plus bas.— [9] εἰσέλθῃ Foes in not., Mack.-πλεῖον EJ.-κραταίῃ J.-μία EH.-πληθώρη K', Foes in not., Mack. — [10] κῇν K', Mack.-κραταίηται J.— [11] ὑπ' Lind.-ὀλίγον pro ὀλίγα Lind.-καὶ om. Lind.— [12] καὶ τῆς Lind.-αὐτοῖσιν ἐούσης vulg.-αὐτῷ ἐούσης K', (Lind., ἐνεούσης), Mack.-[ὥστε αὐθημερὸν] om. vulg.-J'ai ajouté entre crochets ces mots qui me paraissent nécessaires. En tout cas, αὐθημερὸν est exigé par le contexte; voy. plus bas p. 572, l. 11, τῷ αὐτῷ τρόπῳ μεθίει, ᾧπερ καὶ αὐθημερὸν εἴρηται.— [13] πλεῖον KLK', Foes in not., Lind., Mack. -πλείων vulg.-δι' pro τῶν Lind.— [14] κρίνονται. Ἦν δὲ μ. τ. πῦρ ἐν τῇσι vulg.- Le sens ne m'a pas paru acceptable sans le changement que j'ai fait.

46. Ἐν δὲ τῇσι περισσῇσι τῶν ἡμερέων καὶ ὑγιὴς γίνεται ὁ ἄνθρωπος καὶ θνήσκει· διὸ δὲ, ὀλίγον ὕστερον ἀποφανέω· νῦν [1]δὲ ἐρέω διότι μεθίει τὸ πῦρ. Φημὶ [2]δὲ ὅτι, ἂν ἀπὸ τοῦ σώματος πῦρ λάβῃ τὸν ἄνθρωπον, ἀνάγκη ἐστὶ τῇ τρίτῃ ἡμέρῃ ἐξιέναι τὴν ἰκμάδα τὴν λυπέουσαν ἀπὸ τοῦ σώματος ἢ ἐν ἄλλῃ τινὶ τῶν περισσῶν ἡμερέων κατὰ τὸν πρότερον εἰρημένον λόγον· οὐ γὰρ ἐξέρχεται πρὶν ἢ [3]οἱ ἑτέρη προσγένηται ἀπὸ τῆς κοιλίης ἀγαθή· τῇ γὰρ μέσῃ καὶ τῇ ὑστεραίῃ ἕλκει τὸ σῶμα ἀπὸ τῆς κοιλίης, ὅ τι ἂν [4]αὐτὸ ἐς αὐτὴν ἀφῇ τῇ προτέρῃ ἡμέρῃ, ἢν μὴ ἡ κοιλίη διηθήσῃ καὶ ἑτέρην σχῇ ἰκμάδα, καὶ τοῦτο πονηρὸν τῷ ἀνθρώπῳ γίνεται. Ἢν δὲ μεθῇ τὸ πῦρ τριταῖον, [5]τῷ αὐτῷ τρόπῳ μεθίει, ᾧ περ καὶ αὐθήμερὸν εἴρηται· καὶ οὕτω μὲν συμβαίνει τὸ πῦρ γινόμενον ἀπὸ τοῦ σώματος ἐν τῇ τρίτῃ ἡμέρῃ ἀνιέναι. Φημὶ δὲ, καὶ ἢν πέμπτῃ ἡμέρῃ [6]καὶ ἢν ἑβδόμῃ καὶ ἢν ἐννάτῃ μεθῇ, τρόπῳ τῷ αὐτῷ μεθιέναι ὥσπερ καὶ τὸ τριταῖον ἐξέρχεται. Καὶ γὰρ ἡ [7]τροφὴ τῷ πυρὶ κατὰ τὰ χωρία, ὁκοῖα ὀλίγῳ πρότερον εἴρηκα· ἐπικρατήσαντος γὰρ μᾶλλον τοῦ [8]ὑγροῦ πλείονος ἐόντος, ἀνέθη ὁ ἄνθρωπος. Μεθίει δὲ τὸ πῦρ ἐν τῇσι περισσῇσι διὰ τόδε, ὅτι ἐν [9]μὲν τῇσιν ἀρτίοισι τῶν ἡμερέων ἕλκει τὸ σῶμα ἀπὸ τῆς κοιλίης, ἐν δὲ τῇσι περισσῇσιν ἀφίει, ἡ δὲ κοιλίη διηθέει ἔξω τῷ ὑγιεῖ. [10]Κατ' ἀνάγκην τοιήνδε αἱ νοῦσοι κρίνονται ἐν τῇσι περισσῇσι τῶν ἡμερέων· καὶ ἐν τούτῳ μὲν τῷ λόγῳ ὁ ἄνθρωπος πυρετήνας ὑγιὴς ἐγένετο. Φημὶ δὲ [11]καὶ τὸ πονέεσθαι μάλιστα τοὺς νοσέοντας ἐν τῇσι περισσῇσιν ἡμέρῃσι διὰ τόδε καὶ κατὰ λόγον γίνεσθαι. Τετάρακται μὲν δὴ ὁ ἄνθρωπος, ὁκόταν [12]πυρετήνῃ· σημήϊον δὲ τοῦτο, ὅτι φρίκη διαΐσσει διὰ τοῦ σώματος ἄλλοτε καὶ ἄλλοτε· τοῦτο δὲ οὐκ ἂν ἐγίνετο οὕτως, εἰ μὴ ἐταράσσετο τὸ ὑγρὸν καὶ ἀπεκρίνετο ἀπ' αὐτοῦ [13]ἢ πλέον

[1] Δ' H. — [2] δὲ εἶναι, ὅ τι (τι om. EGHIK, Ald.; ὅτι K', Mack) ἂν vulg. – Il faut supprimer εἶναι; ou, si on le gardait, ce serait ὅτι qui devrait disparaître, et on lirait ἀνάγκην sans ἐστί. — [3] οἱ IJ. — [4] αὐτὸ EHIKL, Lind., Mack. – αὐτῷ vulg. – ἐς ἑωυτὴν vulg. – ἑωυτὴν n'a pas de place ici. — [5] τρ. τῶ αὐτῶ EHIK. – ὥσπερ vulg. – ὧπερ GHKL, Ald. – ὡς (ὡς om., restit. al. manu H) εἴρηται vulg. — [6] ἢ pro καὶ ἢν G. – ἐνάτῃ HK. — [7] γραφὴ J. — [8] ὑγιηροῦ, supra lin. ὑγροῦ H. — [9] μὲν EH. – μὲν om. vulg. – τοῖσιν IJ. – ἀρτίῃσι EHK. – ὑγιεῖ Mack. — [10] κατὰ EH. – πυρετήνας EHP'Q'v, Lind. – πυρέξας vulg. — [11] καὶ om. L, Lind. — [12] πυρετήνῃ E, Lind. – πυρεταίνῃ HIJ. – πυρετήνει P'Q'. – πυρεταίνει vulg. – ἐνταῦθα βούλεται δεῖξαι ὅτι οἱ ἀριθμοὶ μυστικήν τινα δύναμιν ἔχουσι καὶ ἀπόρρητον καὶ δείκνυσιν ἑαυτὸν

si plus abondant, le cinquième jour, la fièvre est continue pendant quatre. Ainsi pour les jours se jugent les maladies, quand la fièvre tombe.

46. (*Comment la fièvre tombe. Action des jours impairs.*) C'est aux jours impairs que l'on guérit et que l'on meurt; pourquoi, je le dirai tout à l'heure; maintenant je vais expliquer pourquoi la fièvre tombe. Quand la fièvre provenant du corps fait invasion, nécessairement l'humeur qui cause le mal sort le troisième jour, ou quelque autre des jours impairs, d'après la théorie énoncée plus haut; en effet, elle ne sort pas avant qu'il en vienne du ventre une autre qui soit bonne. Le jour intermédiaire et le lendemain, le corps tire du ventre ce qu'il y a versé le jour précédent, à moins que le ventre n'ait filtré et ne renferme une autre humeur; or, ce liquide repris est mauvais. Mais, si la fièvre s'en va le troisième jour, elle s'en va de la façon exposée pour le jour même; et c'est ainsi que la fièvre, née du corps, se dissipe le troisième jour. Semblablement, si la fièvre cesse le cinquième, le septième ou le neuvième, elle cesse de la même façon que pour le troisième. En effet, le feu trouve sa nourriture dans les lieux que j'ai signalés un peu plus haut; et, l'humide étant abondant et l'emportant, le patient est guéri. Voici pourquoi la solution de la fièvre a lieu dans les jours impairs : les jours pairs, le corps tire du ventre, les jours impairs il verse, et le ventre évacue chez l'homme sain. Telle est la nécessité qui produit la crise des maladies les jours impairs; et, par ce procédé, le fébricitant arrive à guérison. J'ajoute que la plus grande souffrance qui afflige les malades dans les jours impairs, est produite par cette cause et est naturelle. Le corps se trouble quand il y a fièvre; la preuve, c'est que le frisson le parcourt de temps en temps; ce qui n'arriverait pas si le liquide n'était pas troublé, et s'il ne s'en séparait une part plus ou moins

οὐ μόνον ἐν ἄλλοις εἶναι καὶ ἀστρονομικὸν καὶ γεωμετρικὸν καὶ μουσικὸν ἀλλὰ καὶ ἀριθμητικόν· πέντε γὰρ εἶχεν εἴπερ τις τὴν ἐπιστήμην τῶν μαθημάτων G. – ἀποκρίνετο Frob. — [13] ἢ om. K.

ἢ ἔλασσον, καὶ ἐκράτει ἄλλοτε ἄλλου. Μάλιστα [1]δὲ τετάρακται ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, ὁκόταν νοσέῃ, καὶ ἡ φρίκη δὲ μάλιστα τότε γίνεται. Ἔχει γὰρ ὧδε· ἀπὸ τοῦ ὑγροῦ τοῦ πονέοντος ἐξωθέεταί τι ἐκ τοῦ σώματος ὑπὸ τῆς νεωτάτης ἰκμάδος [2]νικώμενον, καὶ χωρέει ἐς τὴν κάτω κοιλίην, καὶ ἡ κοιλίη προσσυνθερμαίνεται τοῦ πονέοντος δεχομένη ἐς ἑωυτὴν μᾶλλον ἢ τῷ πρὶν χρόνῳ. Τοῦτο δὲ [3]γίνεται μάλιστα ἐν τῇ κρίσει τῆς νούσου· καὶ ἢν κατ' ὀλίγον τὸ σῶμα ἐς τὴν κοιλίην ἀφίῃ καὶ μὴ πολλὸν ἔῃ τὸ λυπέον τὸν ἄνθρωπον, ἀναφέρειν τὴν θέρμην ἡ κοιλίη καὶ τὸ σῶμα δύναται ἐν τῇ κρίσει, καὶ γίνεται ὑγιὴς ὁ ἄνθρωπος, ἐπὴν ἐξέλθῃ ἡ ἰκμὰς ἡ πονέουσα; καὶ ἢν ἡ τροφὴ τῷ πυρὶ ἐοῦσα [4]ἐξαναλωθῇ, ἡ δὲ ὑγιηρὴ ἐπικρατήσῃ· ἐν τούτῳ τῷ λόγῳ νοσήσας ὁ ἄνθρωπος ὑγιὴς ἐγένετο δι' αἰτίας τὰς προειρημένας.

47. Νῦν [5]δὲ ἐρέω διότι θνήσκουσιν ἐν τῇσι περισσῇσι τῶν ἡμερέων. Φημὶ δὲ, ἢν πολλὸν ἔῃ τὸ πονέον ἐν τῷ σώματι, μᾶλλον τοῦ καιροῦ τετάρακται, καὶ ἅλες [6]χωρέει ἐς τὴν κοιλίην, καὶ μὴ δυνάμενον ἀναφέρειν τὴν θέρμην τὸ σῶμα ἐπαυρίσκεται, καὶ [7]δυσωδίαν δεῖ γενέσθαι περὶ τὸ πνεῦμα, καὶ οὐ δυνάμενον τὸ σῶμα ὑπὸ ἀσθενείης, ἅτε τοῦ ὑγροῦ παντὸς νοσεροῦ γινομένου, τὴν πνοὴν ἕλκειν, ὡς διαψύχηται τὰ ἐν τῇ κοιλίῃ, [8]ἐξατμιῇ ἔξω τοῦ ὑγροῦ πᾶν τὸ ζωτικὸν, καὶ οὕτω θνήσκει ὁ ἄνθρωπος. Οὐ γὰρ ἐπικρατέει ἑτέρη [9]ἡ ὑγιηρὴ ἰκμὰς, ἀλλὰ πᾶσα ὑπὸ τῆς νοσερῆς πολλῆς ἐούσης ἐπαιρομένη, ἐξαναλωμένη ὑπὸ τοῦ πυρὸς, διεξήτμισεν. Οὕτω δή περ ἐν τῇσι περισσῇσιν ἡμέρῃσι μάλιστα ὁ πόνος γίνεται· τοῦτο πᾶς [10]οἶδεν ὅς τίς ποτε. Καὶ μὴν ὅτι [11]γε τὸ ὑγρὸν τετάρακται ἐν αὐτῇσι τῇσιν ἡμέρῃσι, σημήϊόν ἐστι τόδε· [12]ὁκόσοι ἤδη ὑπὸ πυρὸς ξυνεχέος ἐχόμενοι ἐφαρμακεύθησαν ἐν τῇσιν ἀρτίῃσι τῶν ἡμερέων, οὗτοι οὐ μὴν

[1] Δὲ καὶ vulg. – καὶ om. EH. – τότε μάλιστα K. — [2] γινόμενον Ald. – πρὶν om. K. — [3] κρίνεται EGIJKP'Q'. – ἀναφέρει vulg. – ἀναφέρειν L, Lind. – Correction évidente. — [4] ἐξαναλωθῇ. Ἢν δὲ ἡ (ἡ om. E) (ἤν τε ἡ K') vulg. – Effacez ἡ, lisez ἡ pro ἢν, et ôtez le point. – προειρημένας EHP'v, Lind. – εἰρημένας vulg. — [5] δ' EHQ'. — [6] ἰσχυρὸν vulg. – Lisez χωρέει; comp. plus haut, l. 4. — [7] δυσσωδίαν Ald. – δὲ pro δεῖ EHIJ. – γίνεσθαι IKL, Lind. — [8] ἐξατμιεῖ vulg. – ἐξατμεῖ, al. manu ιεῖ H. – ἐξατμίζει ou ἐξατμιᾷ, dit Weigel, Suppl. de Schneider. Je lis ἐξατμιῇ pour ἐξατμιᾷ. — [9] ἡ om. EHIJK, Ald. – ὑγιηρὴ ἡ G. – ἐπαιρομένης Foes in not., Mack. – [καὶ] ἐξαν. Lind. – ἐς τὸ πῦρ v. – διεξήτμισεν EG (H, al. manu), Lind. – διεξήτμησεν vulg. — [10] οἶδ' E. – εἶδεν J. — [11] γε om. FGIJK. – ἐστι om. FGIJK. — [12] ὀπ. H.

grande qui l'emporte, tantôt sur une humeur, tantôt sur l'autre. Or, le trouble est le plus considérable dans les jours impairs, pendant une maladie, et c'est alors surtout que le frisson se fait sentir. Les choses se passent ainsi : une part du liquide qui est malade est expulsée hors du corps par la plus récente humeur qui est la plus forte ; elle arrive dans le ventre inférieur; le ventre s'échauffe, recevant plus d'humeur malade qu'il ne faisait auparavant; c'est surtout lors de la crise de la maladie que cela survient. Si le corps verse peu à peu dans le ventre l'humeur morbide qui n'est pas très-abondante, le ventre et le corps peuvent supporter la chaleur dans la crise; et le patient guérit après la sortie de l'humeur morbifique, après la consomption de ce qui alimentait la fièvre, et le triomphe de l'humeur saine. De cette façon, l'homme malade guérit par les causes susdites.

47. (*Pourquoi l'on meurt les jours impairs. Faute que l'on commet en purgeant aux jours impairs. Cette faute était commise par les anciens médecins.*) Maintenant, je dirai pourquoi l'on meurt les jours impairs. En effet, si l'humeur morbide est abondante dans le corps, le trouble est excessif, une part considérable arrive dans le ventre; le corps, ne pouvant supporter la chaleur, y puise; nécessairement l'haleine devient fétide; le corps, incapable, par faiblesse, vu que tout l'humide est malade, d'attirer la respiration afin de rafraîchir ce qui est dans le ventre, exhale toute la partie vitale de l'humeur, et c'est ainsi que meurt le patient. Une autre humeur saine ne vient pas triompher; mais, soulevée tout entière par l'humeur morbide qui abonde, consumée par la fièvre, elle s'exhale. C'est de la même façon que la souffrance est la plus forte dans les jours impairs, il n'est personne qui ne sache cela. Au reste, voici la preuve que l'humide est troublé dans ces jours mêmes ceux qui, saisis d'une fièvre continue, ont été purgés dans les jours pairs, n'ont pas éprouvé de superpurgation; mais ceux qui dans les jours pairs ont pris une forte purgation, ont été superpurgés, et beaucoup même ont succombé à cet accident.

[1]ὑπερεκαθάρθησαν· ὁκόσοι δὲ ἐν τῇσι περισσῇσιν ἐφαρμακεύθησαν [2]ἰσχυρῇ φαρμακείῃ, ὑπερεκαθάρθησαν, πολλοὶ δὲ καὶ ἀπώλοντο ὑπερκαθαρθέντες. Οἱ γοῦν πρόσθεν ἰητροὶ ἐν τούτῳ μάλιστα ἡμάρτανον, ἐφαρμάκευον γὰρ ἐν τῇσι περισσῇσιν ἡμέρῃσι καὶ [3]ἀπώλλυον τοὺς ἀνθρώπους, οὐ γινώσκοντες ὅτι τοῦθ' οὕτως ἔχει. Τὸ γὰρ ὑγρὸν ἐν τῷ σώματι τοῦ νοσέοντος τετάρακται μᾶλλον ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, οἷα τοῦ σώματος ἐς τὴν κοιλίην μεθιέντος τῆς ἰκμάδος· καὶ ἤν τις ἐπιτεταραγμένῳ ἐόντι ἔτι μᾶλλον ταράξῃ, φάρμακον [4]ἐμβαλὼν, οὐ θαῦμά ἐστιν ἐκ τῶν τοιούτων ἀπολέσθαι τὸν ἄνθρωπον.

48. Καὶ τὰ [5]ἕλκεα φλεγμαίνει μάλιστα ἐν ταύτῃσι τῇσιν ἡμέρῃσιν, ἔρχεται γὰρ τὸ ὑγρὸν ἐς ἁπάσας τὰς φλέβας, ὁκόταν ταράσσηται, καὶ πληροῖ, ἐπὴν ἔλθῃ ἐς τὸ ἕλκος ἡ νοῦσος· καὶ ἢν [6]μὲν μελεδαίνηται καὶ ἔχῃ ἔξοδον τὸ πῦος ἐξωθεόμενον ὑπὸ τοῦ ὑγροῦ τοῦ ἐλθόντος ἐν τῇ ταραχῇ, ἔξω ἀποκαθαίρεται τὸ ἕλκος· ἢν δὲ [7]μὴ μελεδαίνηται, οὐκ ἔχον ἔξοδον τὸ πῦος, αὐτοῦ καταμένον σὺν τῷ κατελθόντι, πόνον παρέχει καὶ ἀείρει τὴν σάρκα τὴν περὶ τὸ ἕλκος· καὶ ἀπ' ἐκείνου, [8]ἢν μὲν ἐν τοῖσι σκέλεσιν ἔχῃ τὸ ἕλκος, ἀείρονται αἱ φλέβες αἱ ἐν τῇσι προσφύσεσι τῶν σκελέων ἐοῦσαι· ἢν δὲ ἐν τῇσι χερσὶν, αἱ [9]ἐν τῶν χειρῶν τῇσι προσφύσεσιν ἐοῦσαι· καὶ ἐκ τούτου βουβῶνες γίνονται. [10]Ὁκόσοισι δὲ τῶν ἀνθρώπων πῦρ ἐμπίπτει, ἄλλο μηδὲν τοῦ ἀνθρώπου κακὸν ἔχοντος, ἀπὸ τῆς πιοτέρης ἐούσης τοῦ καιροῦ ἐμπίπτει, καὶ πληρεύμεναι αἱ φλέβες πόνον καὶ θέρμην τῷ ἕλκει παρέχουσι· τὸ δὲ θερμανθὲν καὶ τὸ ἄλλο σῶμα θερμαίνει, καὶ ἡ θερμασίη οὕτως [11]ἐς τὰ ἕλκεα γίνεται· θερμαίνεται γὰρ τὸ σῶμα καὶ τὰ ἕλκεα ὑπὸ τῆς κλονήσεως τοῦ ὑγροῦ, καὶ ἡ ταλαιπωρίη τοιοῦτον ἐργάζεται. Ἀποφλεγμαίνει δὲ τὰ ἕλκεα πεμπταῖα, καὶ κατὰ λόγον τουτέων τῶν ἡμερέων, ὡς ἂν καὶ τὰ ἕλκεα μέγεθος ἔχῃ,

[1] Ὑπεκαθάρθησαν EFGHIJK, Ald. — [2] ἰσχυρὴ K. – ἐκαθάρθησαν vulg. – ὑπερεκαθάρθησαν K', Lind. – Correction évidente. – ἀπόλλοντο K. – ἀπώλλοντο Mack. — [3] ἀπόλυον (sic) al. manu J. — [4] ἐμβαλλὼν (sic) H. — [5] Post ἕλκεα addit ἢν μὲν (μὲν om. KL, Lind.) μελεδαίνηται (κελεδαίνηται sic F) vulg. – Ces mots me paraissent parasites et introduits par l'erreur d'un copiste qui les lisait aussi plus bas. – φλεγμαίνει.... μελεδαίνηται om., restitut. al. manu in marg. sic : μάλιστα ἐν τ. τ. ἡμ. φλεγμαίνει, τὸ γὰρ ὑγρὸν ἐς ἁπάσας ἔρχεται τὰς φλέβας.... ἐπὴν ἐς τὸ ἕλκος ἡ νοῦσος ἵκηται E. — [6] μὲν om. K. — [7] μὴ EFGHIJKP', Ald., Foes in not., Lind., Mack. – μὴ om. vulg. – μελεδαίνηται EGIK, Ald., Lind. – μελεδαίνεται vulg. – πύον

C'est en cela que les anciens médecins se trompaient surtout; ils purgeaient aux jours impairs, et tuaient les malades, ne sachant pas qu'il en était ainsi. En effet, l'humide, dans le corps du malade, se trouble davantage les jours impairs, à cause de l'humeur que le corps verse dans le ventre; et, si au trouble préexistant on ajoute un nouveau trouble en administrant un purgatif, ce n'est pas merveille que le patient succombe à cette complication.

48. (*La même théorie s'applique aux plaies. L'auteur résume toute la théorie sur le cycle de trois jours.*) Les plaies aussi sont le plus emflammées ces jours-là; l'humide, quand il est troublé, va dans toutes les veines et les remplit, la maladie étant venue à la plaie. Si le mal est soigné et que le pus, poussé par le liquide qui, dans le trouble, afflue, ait une issue, la plaie se purge à l'extérieur; mais, si le mal n'est pas soigné, le pus, n'ayant pas d'issue, demeure sur place avec ce qui afflue, cause de la douleur, et soulève la chair autour de la plaie. De là, si la plaie est aux jambes, les veines des jointures des membres inférieurs se gonflent; si aux bras, celles des jointures des membres supérieurs; et, de la sorte, se forment des bubons. Ceux qui sont saisis de fièvre sans avoir aucun autre mal, sont fébricitants par l'effet de l'humeur, qui est trop grasse; les veines emplies causent de la souffrance et de la chaleur à la plaie; celle-ci, échauffée, échauffe à son tour le reste du corps. C'est ainsi que la chaleur vient aux plaies. Le corps et les plaies s'échauffent par l'agitation du liquide. La fatigue en fait autant. L'inflammation des plaies décline le cinquième jour, ou plutôt, d'après un tel ordre, suivant la grandeur de la plaie : le troisième, le cinquième, le septième, le neuvième, le onzième. Une première période étant close, le

Mack. — [8] κῆν GHJK, Ald., Frob., Mack. - Ante ἦν addit καὶ E. — [9] ἐν om. vulg. - ἐν est nécessaire; Lind. l'a bien vu, qui met : αἱ ἐν τῇσι προσφύσεσι τῶν χειρῶν ἐοῦσαι. — [10] ὁκόσοι, al. manu σοισι H. - ἐμπίπτει EGHIJ, Mack. - ἐμπίπτῃ vulg. - πιωτέρης IJ. — [11] εἰς IJK. - κλονήσιος Lind. - τοιοῦτο Lind.

καὶ τριταῖα καὶ πεμπταῖα καὶ ἑβδομαῖα καὶ [1] ἐνναταῖα καὶ ενοεκαταῖα· εἶτα ἀπηρτισμένης πρώτης περιόδου, πάλιν δευτέρας ἀρχὴ [2] ἡ τρίτη, ἥτις ἐστὶν ἀπὸ τῆς πρώτης τεσσαρεσκαιδεκάτη· τὰ δὲ μέγιστα αὐτῶν τεσσαρεσκαιδεκαταῖα ἀποφλεγμαίνει. Οὗτος ὁ λόγος ἐρεῖ τὰ [3] νουσήματα κρίνεσθαι ἐν τῇσι περισσῇσι τῶν ἡμερέων, καὶ τὴν ἰκμάδα τῷ ὑγιεῖ τριταίην ἐξιέναι, τὴν δὲ κόπρον δευτεραίην· καὶ ταῦτα τριταῖα ἐόντα [4] ἱστορέει ἀλλήλοισιν ὅτι οὕτως ἔχει. Οὕτω δέ μοι ὁ λόγος οὗτος πᾶς ἐκκεκορύφωται.

49. Νῦν δὲ ἐθέλω [5] ἀτρεκέστερον εἰπεῖν, διότι νοσέουσιν οἱ ἄνθρωποι· ἐρέω δὲ σὺν τούτῳ τῷ λόγῳ καὶ τίνες ἀρχαὶ τῶν νούσων εἰσὶ, καὶ ὁκοῖα [6] ἑκάστη αὐτέων ἐργάζεται. Φημὶ δὲ, ἢν μὲν ἐμμείνῃ τὰ σιτία πλείονα τοῦ καιροῦ ἤδη πεπεμμένα ἐόντα, καὶ ὁ ἄνθρωπος μὴ ἀποκαθαίρηται καὶ ἕτερα σιτία ἐπιπίπτῃ, τὸ σῶμα [7] πληρούμενον ὑπὸ τῆς ἰκμάδος τῆς προτέρης καὶ τῆς νέης, θερμαίνεται, καὶ πῦρ ἐκ τούτου γίνεται τῷ ἀνθρώπῳ. Τὸ δὲ πῦρ οὕτως γενόμενον οὐκ ἄπορον οὐδὲ ἰσχυρόν ἐστιν, ἐν ᾧ [8] ἡ ἰκμὰς ἰσάζει κατὰ πλῆθος [9] ἡ ἡμέας λυπέουσα ὀλίγῳ πλέον· ἢν γὰρ τοῦθ' οὕτως ἔχῃ καί τις κάρτα ἰσχύῃ καὶ τὰ ἐπιτήδεια προσενέγκῃ, ὑγιὴς γίνεται. Ἐν δὲ νούσημα [10] μόνον ἀπὸ πάσης τῆς ἰκμάδος, καὶ σημήϊα ἴσχει ἑπτά· βὴξ τε γὰρ ἴσχει μιν, βληχρὴ [11] καὶ ξηρὴ ἐοῦσα, γαστήρ τε [12] σκληρὴ γίνεται, ἅτε τοῦ ἀποπάτου ἐόντος ἐντὸς, [13] καὶ τὴν κεφαλὴν βαρέεται, [14] καὶ ἐξερᾷ, [15] καὶ πυρεταίνει, [16] καὶ οὖρον οὐ χρηστῶς διέρχεται; ταῦτά δέ ἐστι τῆς νούσου ταύτης [17] ἀπὸ πάσης τῆς ἰκμάδος γενομένης σημήϊα ἑπτά· ἢν δὲ τοῦ ἀποπάτου μὴ διαχωρέοντος κρατέῃ μία [18] ἰκμὰς τῶν ἄλλων,

[1] Ἐναταῖα HK. – δευτέρης Lind. – ἀρχῆς vulg. – ἀρχὴ K', Lind., Mack. – Correction évidente. — [2] ἡ K', Mack. – ἡ om. vulg. – τεσσαρεσκαιδεκάτης FGJ, Ald. — [3] νουσ. K, Lind., Mack. – νοσ. vulg. — [4] ἐκχωρέει pro ἱστ. exempl. Vaticana mss., Mercur. in marg. – οὗτος ὁ λόγος EH. — [5] ἀτρεκέστατον, al. manu τερον H. — [6] αὐτέων ἑκάστη K. – δὲ om. H. – ἐκμείνῃ J. — [7] πληρεύμενον K'. — [8] ἡ EH. – ἡ om. vulg. — [9] ἡ om. vulg. – ἡ sera facilement tombé devant ἡμέας. – ἡμᾶς E. – ἡμέρας J. — [10] μόνον om. IJK. – Ante βὴξ addunt α FGIJK. – Sic legitur ap. L et Mack : πρῶτον βήξ τε γὰρ ἴσχει μιν βληχρή· δεύτερον καὶ ξηρὴ ἐοῦσα· τρίτον ἡ γαστὴρ σκληρὴ γίνεται ἅτε τοῦ ἀποπάτου ἐόντος ἐντός· τέταρτον κατὰ τὴν κεφαλὴν βαρέεται· πέμπτον καὶ ἐξερᾷ· ἕκτον καὶ πυρεταίνει· ἕβδομον καὶ οὖρον οὐ χρηστῶς κτλ. – μὶν vulg. – μῖν J. — [11] Ante καὶ addunt β FGIJK. – Ante γαστὴρ addunt γ FGIJK. – ἡ γαστὴρ EHJK, Lind. – δὲ pro τε Lind. — [12] ξηρὴ EH. – ἐντὸς ἐόντος I. – εἴσω ἐόντος EHP'v. – εἴσω Q'. — [13] Ante καὶ addunt δ FGIJK. —

troisième jour, qui est le quatorzième à compter du premier, devient le début d'une seconde période. C'est au quatorzième jour que décline l'inflammation des plus grandes plaies. Ce raisonnement montre que les maladies se jugent les jours impairs, que chez l'homme sain l'humeur sort le troisième jour et les excréments le deuxième ; et ces opérations, allant de trois en trois jours, se servent mutuellement de preuve pour témoigner que les choses sont ainsi. De la sorte, toute cette explication est complète.

49. (*Explication plus détaillée de pathogénie. Une maladie causée par toute l'humeur, a sept signes. Comparaison du corps fébricitant avec un vase où bouillent de l'eau et de l'huile : l'eau diminue bien plus que l'huile. De même, par la force de la fièvre, l'eau du corps diminue bien plus que la bile.*) Maintenant, je vais énoncer plus exactement pourquoi les hommes deviennent malades ; j'exposerai en même temps quels sont les principes des maladies et quels effets chacune d'elles produit. Je dis que, s'il reste plus qu'il ne faut d'aliments déjà digérés, si le sujet n'a pas d'évacuation et que d'autres aliments soient ingérés, le corps, empli par l'humeur ancienne et par l'humeur récente, s'échauffe, et la fièvre en résulte. La fièvre ainsi engendrée n'est ni périlleuse ni intense, quand l'humeur qui cause notre mal ne dépasse pas beaucoup en quantité l'état régulier. S'il en est ainsi, que le sujet soit vigoureux et que les choses appropriées soient administrées, il guérit. Une seule maladie provient de toute l'humeur et a sept signes : il y a une toux légère et sèche, le ventre se durcit, attendu que les selles restent dedans ; la tête est pesante, on vomit, on a la fièvre, et l'urine rendue n'est pas de bonne nature. Tels sont les sept signes de cette maladie, provenant de toute l'humeur. Si, les selles ne marchant pas, une humeur l'emporte sur les

[14] Ante καὶ addunt ε FGIJK. – ἐξεμεῖ E. – ἐξεᾶ (sic) FGHIJK, Ald. — [15] Ante καὶ addunt ς FGIJK. – πυρετταίνει Frob. — [16] Ante καὶ addunt ζ FGIJK. — [17] τῆς ἀπὸ πάσης ἰκμ.. K. — [18] ἰκμὰς τῶν ἄλλων EHv. – τῶν ἄλλων ἰκμὰς vulg. – πολλῷ EHP'Q'v. – π. om. vulg.

πολλῷ κάλλιον ἐμπολήσει ὁ ἄνθρωπος. Καὶ ἤν τις τῷ πυρετῷ [1] γινομένῳ ἀπὸ πάσης τῆς ἰκμάδος τὰ ἐπιτήδεια μὴ προσενέγκῃ, περιέσεται ἡ νοῦσος, ὅσῳ [2] γ' ἂν αὐτὴ κρατέῃ τῶν ἰκμάδων, τρόπῳ τοιῷδε· θερμαινομένου τοῦ [3] σώματος ἐξατμιῇ μάλιστα διὰ τούτου τὸ ὑδρωποειδὲς, ὅ τι ἐστὶ τῷ πυρὶ πολεμιώτατον· καταλείπεται δὲ τὸ λιπαρὸν καὶ κοῦφον, ὅ τι ἐστὶ χολῶδες καὶ τῷ πυρὶ τροφὴ μάλιστά ἐστιν. [4] Ἐξατμιᾷ δὲ τρόπῳ τοιῷδε· ὥσπερ εἴ τις ὕδωρ καὶ ἄλειφα ἐς χαλκεῖον ἐγχέας, ξύλα πουλλὰ ὑποκαίοι πουλὺν χρόνον, τὸ μὲν δὴ ὕδωρ πολλῷ ἔλασσον ἔσται· [5] ἐξατμισθήσεται γὰρ ἐκ τοῦ χαλκείου· τὸ δὲ ἄλειφα ὀλίγῳ ἔλασσον, ὅτι τὸ μὲν ὕδωρ [6] ὑπὸ τῆς ἀραιότητος καταλεπτύνεσθαι δύναται ὑπὸ τοῦ πυρὸς καὶ κοῦφον [7] γενόμενον ἐξατμιᾶν, τὸ δὲ ἄλειφα ἅτε συναφὲς ἐὸν καὶ πυκνὸν οὐ δύναται καταλεπτύνεσθαι, οὐδὲ ἀτμιᾶν ὁμοίως τῷ ὕδατι. [8] Οὕτω δὴ καὶ ἐν τῷ ἀνθρώπῳ ἔχει· ὁ μὲν γὰρ ὕδρωψ θερμαινομένου τοῦ σώματος [9] ἐξατμιᾷ ἔξω· τὸ δὲ χολῶδες ἅτε συναφὲς ἐὸν καὶ πυκνὸν [10] οὐ δύναται ἀτμιᾶν καταλεπτυνόμενον ὁμοίως· [11] τὸ δὲ χολῶδες καταλειπόμενον μᾶλλον ποιεῖ θερμαίνεσθαι τὸ σῶμα· πλείων γὰρ καὶ καλλίων τροφὴ τῷ πυρὶ [12] γίνεται, καὶ ῥακούμενον ἐν τῷ σώματι ἢ στηριξάμενον, τὴν νοῦσον ἐπεκράτυνε πρὸς τὰ πρόσθεν. Καὶ ταῦτα μὲν εἴρηται ὅτι πάσχει ὁ ἄνθρωπος, ἢν μὴ καθαίρηται καὶ μελεδαίνηται.

50. Ἢν δὲ μὴ [13] αὐτῶν πλήθει κρατήσῃ, εἴτε ἐς ἅπαξ πολλὴ γενομένη εἴτε καὶ κατὰ σμικρὸν συλλέγεται, καὶ τὸ ἄλλο σῶμα [14] ὀδυνᾶται, τοῦτο γενόμενον ὑπὸ ἰσχύος ἀναφέρει, μέχρις οὗ ἀρχή τις ἐπιγένηται, καὶ [15] ἢν τὸ πλεῖον γενόμενον ὑγρὸν μὴ ἀποκαθαίρηται ὁ ἄν-

[1] Γεννομένω (sic) H.–ἀποστάσης vulg.–ἀπὸ πάσης K', Lind.–Correction évidente. — [2] δ' vulg. – Je lis γ'. – αὐτὴ EH. – αὐτέη vulg. — [3] σώματος (H, al. manu αἵματος) v, Foes in not., Mack. – αἵματος vulg. – ἐξατμιεῖ vulg. – διὰ τοῦτο Foes in not.–τοῦ ὑδρωποειδέος (ὑδροποειδέος IK) vulg.–τὸ ὑδρωποειδὲς Foes in not.–Correction excellente. — [4] ἐξατμιεῖ K.–ἄλειφαρ Lind. –πουλὰ vulg.–πουλλὰ GIJK.–πολλὰ EH, Lind.–ὑποκαίοι EHIL, Lind., Mack.–ὑποκαίει vulg.–Post ὑπ. addit πουλλὰ J. — [5] ἐξατμισθήσεται GIJK. –ἐξατμησθήσεται vulg.–ἐξατμηθήσεται E.–γὰρ om. J.–ἀλειφαρ E, Lind. — [6] καταλεπτύνεσθαι ὑπὸ ἀραιότητος EH. — [7] γιν. H.–ἐξατμιᾶν EGHIJK, Ald.–ἐξατμιᾷ vulg.–ἄλειφαρ E, Lind. — [8] καὶ ἐν τῷ ἀνθρ. δὲ οὕτως ἔχει K. δὲ pro δὴ E.–ὕδροψ IK. — [9] ἀτμιᾷ EH.–τὸ δὲ χολῶδες.... ὁμοίως om., restit. al. manu in marg. E. — [10] οὐχ ὁμοίως καταλεπτυνόμενον ἀτμιᾷ ἔξω Hv. — [11] καταλεπτυνόμενον δὲ τὸ χολῶδες EHKv.–καταλεπτυνόμενον vulg.–Lisez ici καταλειπόμενον; voy. plus haut, l. 5, καταλείπεται δὲ κτλ.–θερ-

autres, le patient s'en tirera beaucoup mieux. La fièvre provenant de toute l'humeur, si les choses convenables ne sont pas administrées, la maladie se prolongera en proportion de la domination qu'elle a sur les humeurs, de cette façon : le corps s'échauffant, la partie aqueuse, qui est la plus ennemie du feu, est exhalée le plus à travers le corps, et il reste la partie grasse et légère, qui est bilieuse et le principal aliment du feu. L'exhalation est comparable à ce qui se passe dans un vase où l'on aurait versé de l'eau et de l'huile, et sous lequel on brûlerait pendant longtemps beaucoup de bois; l'eau diminuera beaucoup, s'en allant par exhalation hors du vase, l'huile diminuera peu; l'eau, en effet, vu sa laxité, peut être atténuée par le feu, et, devenue légère, se vaporiser; mais l'huile, vu sa cohérence et sa densité, ne peut être atténuée ni se vaporiser comme l'eau. Il en est de même dans l'homme; l'eau, par l'échauffement du corps, se vaporise et s'en va; la bile, étant cohérente et dense, ne peut être atténuée et vaporisée semblablement; elle reste et échauffe davantage le corps, car c'est pour le feu une plus abondante et meilleure nourriture; et, dispersée dans le corps ou fixée, elle ajoute une nouvelle force à la maladie. Voilà ce que j'avais à dire sur les souffrances qu'éprouve le patient quand il n'a ni évacuation ni traitement.

50. (*Trois principes de maladie : la pléthore déjà expliquée; les violences; les intempéries célestes. Explication des effets de la violence.*) Si les humeurs ne surabondent pas, soit par un afflux qui s'est fait tout à la fois, soit par une accumulation qui s'est faite peu à peu, et que le reste du corps soit souffrant, le patient, en raison de sa vigueur, supporte cet état jusqu'à

μαίνεται, al. manu ποιεῖ θερμαίνεσθαι H. — [12] γίνεται ἡ χολὴ vulg. - ἡ χολὴ om. (H, restit. al. manu) v. - στηριζάμενον (sic) Ald. - ἐπεκράτυνε om. K. - ἔμπροσθεν L, Lind., Mack. - ὅ τι G, Mack. - εἰ E. - καθήρηται EI. — [13] αὐτῷ K', Mack. - ἐσάπαξ EG. - σμικρὸν H. - μικρὸν vulg. - συλλέγηται vulg. - συνάγηται G. - συλλέγεται EH. — [14] δυνᾶται (sic) K'. - τοῦτο [δὲ] Lind. - γινόμενον vulg. - γενόμενον H. - ἡ ἀρχή τις EHIJK. — [15] ἦν om. (E, al. manu εἰ) FGHIJK, Ald. - γινόμενον vulg. - γεν. EH.

θρωπος, νοῦσος ἔνθεν γίνεται τρόπῳ τοιῷδε. Ἀρχαί εἰσι τρεῖς ἀφ' ὧν αἱ νοῦσοι γίνονται· καὶ μία μὲν [1] ἤδη εἴρηταί μοι ὁκοῖα ἄσσα ἐργάζεται ἐν τῷ σώματι· ἀπέδειξα γὰρ ὅκως τε καὶ διότι, ἢν μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος, νοσέει· δευτέρα δέ ἐστιν ἢν συμβῇ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια καὶ παρὰ δίαιταν εἶναι· τρίτη [2] δὲ, ἤν τι βίαιον προσπέσῃ· βίαιον δὲ λέγω εἶναι καὶ πτῶμα καὶ τραῦμα καὶ πληγὴν καὶ ταλαιπωρίην καὶ εἴ τι ἄλλο ἐστὶ τοιοῦτον. Τούτων δὲ τῶν ἀρχέων μεγίστη ἐστὶ βίη, ἢν μεγάλη ἔῃ, ἢν δὲ [3] μικρὴ, οὐ μεγίστη· δευτέρη δὲ, ἢν μὴ ἀποκαθαίρηται ὁ ἄνθρωπος· τρίτη δὲ, ἢν τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια ἔῃ πρὸς [4] τὴν ὑγιείην. Τούτων τοιγαροῦν δεῖ φυλακὴν ἔχειν· ἕκαστα δ' αὐτῶν τοιοῦτον ἐργάζεται ἐν τῷ σώματι, ὁκοῖον ἐγὼ ἐρέω. Ἢν μὲν τρῶμα γένηται, δῆλον ὅτι [5] ἡ σὰρξ διεκόπη καὶ ἕλκος ἐγένετο· τοῦτο δὲ νούσημα ὀνομάζω εἶναι. Ἢν δὲ φλάσμα γένηται πληγέντος ἢ [6] πεσόντος ἤ τι ἄλλο τοιοῦτο παθόντος καὶ οἴδημα γένηται, [7] τὸ αἷμα αὐτίκα θερμανθὲν ὑπὸ τῆς βίης καὶ ὑποδραμὸν ἐς τὰς φλέβας χανούσας, οὐκ ἔχον ἔξοδον ὑπὸ πλήθεος ἀπελθεῖν, συνεστράφη, καὶ τὸ οἴδημα διὰ τοῦτο ἐγένετο καὶ [8] μέχρι τούτου πάρεστι, μέχρις ἀποκαθαρθῇ καθότι ἀπὸ τῶν χωρίων εἴρηται, ἢ κατ' αὐτὸ τὸ οἴδημα [9] εἴτε σὺν χειρουργίῃ εἴτε καὶ μὴ δίοδος γένηται τῷ αἵματι ἢ πυωθέντι ὑπὸ χρόνου ἢ καὶ μή. Καὶ ἡ ταλαιπωρίη δὲ τοιοῦτον ἐργάζεται· ὁκόταν γὰρ οἱ ἄνθρωποι ταλαιπωρέωσιν, οἷσιν ἂν μάλιστα τοῦ αἵματος ταλαιπωρίη ᾖ, κεῖθι στηρίζεται καὶ θερμαίνεται, [10] καὶ πόνος ἐκ τοῦ τοιούτου γίνεται· ἢν δὴ κρατήσῃ μὲν τούτων, κάρτα δὲ πλῆθος γεννήσῃ ταλαιπωρίη, καὶ ἡ κοιλίη καὶ κύστις μηδαμῶς διηθήσῃ ἐν τάχει τὸ πλῆθος, πῦρ ἐπιπέσοι ἂν [11] ἐκ τούτου. Κὴν μὲν ἡ πρόσθεν ἰσάσῃ ἰκμὰς, οὐδαμῶς· ἢν [12] δ' ἐν τῇ τα-

[1] Δὴ EH. – καὶ pro μοι EH. – ὁκοῖα καὶ ὅσα vulg. – ὁκοῖα ἄσσα EH. – ἀποκαθαίρεται vulg. – καθαίρηται G. – ἀποκαθαίρηται EHIK, Ald., Frob., Lind. — [2] δέ ἐστιν vulg. – ἐστιν om. EH. – εἶναι λέγω EK. – τοιοῦτο EH. – ἀρχαίων J. — [3] μικρὰ vulg. – μικρὴ GHIJKP'Q', Lind., Mack. – δευτέρα J. — [4] τὴν EHQ', Lind , Mack. – τὴν om. vulg. – ὑγιείην E. – ὑγείην vulg. – τοιγαροῦν om. H. — [5] ἡ EH. – ἡ om. vulg. – νόσημα EH. — [6] τρωθέντος pro π. EP'Q'. — [7] τὸ γὰρ αἷμα Lind. – θερμαθὲν GK, Ald. — [8] μέχρις H. – παρέστη E. – καθότι εἴρηται, ἀπὸ τῶν χωρίων Lind. — [9] καὶ εἴτε vulg. – Je retranche ce καὶ, qui est nuisible. – χειρουργείῃ G. — [10] καὶ ὁ π. EP'Q', Mack. – τοῦ om. EIJK. – δὲ pro δὴ E. – κρατηθῇ vulg. – κρατήσῃ K'. – πλῆθος (πλήθεος K; πλεῖθος (sic) Ald.) γένηται ταλαιπωρίη (ταλαιπωρίης E; ἐκ ταλαιπωρίης Mack) vulg. – Je lis γεννήσῃ. – καὶ ἡ κύστις Lind. — [11] ἐκείνῃ pro ἐκ τ.

ce qu'un principe morbifique survienne, et alors, si l'excès du liquide n'est pas évacué, la maladie en résulte de la façon que voici : il y a trois principes d'où proviennent les maladies; j'en ai déjà expliqué un, et j'ai dit quels effets il produit dans le corps, ayant montré comment et pourquoi, à défaut d'évacuation, on devient malade. Le second principe est dans les intempéries célestes. Le troisième est dans les violences extérieures; je nomme violences une chute, une blessure, un coup, une fatigue et autres choses de ce genre. De ces principes, le plus puissant est la violence si elle est considérable, mais non, si elle est petite; au second rang est le défaut d'évacuation; au troisième, les intempéries célestes contraires à la santé. Il faut donc se garder de ces causes. Quant aux effets que chacune produit dans le corps, je vais les dire. En cas de blessure, il est manifeste que la chair a été entamée et qu'une plaie a été faite; cela, selon moi, est une maladie (*comp.* des Fractures, § 31, t. III, p. 527). En cas de contusion suite d'un coup, d'une chute ou de tout autre accident de ce genre, il survient du gonflement; le sang, soudainement échauffé par la violence, et refluant dans les veines béantes, n'a pas d'issue, à cause de son abondance, pour s'échapper; il se condense; c'est pour cela que se forme le gonflement, lequel dure jusqu'à ce que l'évacuation se fasse par les lieux indiqués, ou jusqu'à ce que, à l'endroit même du gonflement, par la chirurgie ou autrement, une voie soit ouverte au sang, changé ou non avec le temps en pus. La fatigue produit un effet semblable; quand on se fatigue, le sang, là où il éprouve le plus de travail, se fixe et s'échauffe, ce qui cause de la souffrance; s'il l'emporte, si la fatigue engendre une pléthore considérable et que le ventre et la vessie n'en débarrassent pas rapidement, la fièvre en sera le résultat. Si la précédente humeur l'égalise, il n'y aura pas de fièvre; mais, si l'une d'elles, devenue surabondante par la fatigue, demeure dans le corps, celle-là prend le des-

Mercur. in marg. - ἰσάζῃ EGHIK, Ald. - ἰσάζει J. — [12] δὲ EHIJK. - πλεῖστον E. - ἡ ἐν τῷ EH.

λαιπωρίη αὐτέων πλείστη ἐν τῷ σώματι καταμένη, κρατέει κείνη. Ταῦτα δέ μοι εἴρηται περὶ βίης, ὁκοῖα ἐν τῷ σώματι [1]κατεργάζεται· καὶ αὗται μὲν δύο ἀρχαὶ ἐοῦσαι, ἥ τε βίη καὶ ἡ πληθώρη, ἢν μὴ ἀποκαθαίρωνται οἱ ἄνθρωποι, θερμαίνουσι τὰ σώματα.

51. [2]Ἡ δὲ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδειος γενομένη ἐν τῷ ἀνθρώπῳ ἐκράτησέ τι τοῦ ὑγροῦ καὶ θερμαίνει ὡς ἐς νόσον καὶ ψύχει, [3]ὁπότερον ἂν τύχῃ γενόμενον· ἐρέω δὲ [4]πρότερον περὶ τοῦ ὡς θερμαίνει. Φημὶ οὖν, ἢν ἐν τῷ αὐτῷ ἀνθρώπῳ ἐνέῃ τι νοσηρὸν ὁκοῖον ἐν τῷ [5]πρότερον εἴρηκα, καὶ τὰ ἐκ τοῦ οὐρανοῦ ἀνεπιτήδεια γίνηται, καὶ θερμαίνηται ὁ ἄνθρωπος, ταράσσεσθαι τὸ ὑγρὸν πᾶν θερμαινόμενον ἐν τῷ σώματι, τοῦτο δὲ [6]ποιέει βίη· καὶ ἢν μὲν ἀποκαθαίρηται ὁ ἄνθρωπος, τοῦδε ταρασσομένου, ἀποκρίνεται ὁκόσον ἂν πλέον [7]ᾖ τοῦ καιροῦ. Ἔοικε δὲ τοῦτο ὥσπερ οἱ Σκύθαι ποιέουσιν ἐκ τοῦ ἱππείου γάλακτος· ἐγχέοντες γὰρ τὸ γάλα ἐς ξύλα κοῖλα σείουσι· τὸ δὲ ταρασσόμενον [8]ἀφριῇ καὶ διακρίνεται, καὶ τὸ μὲν πῖον, ὃ βούτυρον καλέουσιν, ἐπιπολῆς διίσταται [9]τοῦτο, ἐλαφρὸν ἐόν· τὸ δὲ βαρὺ καὶ παχὺ κάτω ἵσταται, ὃ καὶ ἀποκρίναντες ξηραίνουσιν· ἐπὴν δὲ παγῇ καὶ ξηρανθῇ, ἱππάκην μιν καλέουσιν· ὁ δὲ ὀῤῥὸς τοῦ γάλακτος ἐν μέσῳ ἐστίν. [10]Οὕτω δὲ καὶ ἐν τῷ ἀνθρώπῳ, ταρασσομένου τοῦ ὑγροῦ παντὸς ἐν τῷ σώματι, ὑπὸ τῶν ἀρχῶν διίσταται ὧν εἴρηκά οἱ πάντα, καὶ ἐπιπολῆς μὲν [11]τὸ τῆς χολῆς διίσταται· κουφότατον γάρ ἐστι· δεύτερον δὲ τοῦ αἵματος· τρίτον δὲ τοῦ φλέγματος· βαρύτατον δέ ἐστι τῶν ὑγρῶν τούτων ὁ ὕδρωψ. Τούτων δ' ἐόντων, ὅ τι ἂν ἐν νούσῳ πλεῖστον [12]ᾖ, ἐν ἀρχῇσι γινομένης τῆς ταραχῆς, ἔρχεται ἐς χωρίον

[1] Ἐργάζεται EFGHIJKv. — [2] ἐκ δὲ (H, al. manu ἡ δὲ ἐκ) v. – Ante ἀνεπ. addit ἀνεπιτήδεια H. – νοῦσον Lind., Mack. — [3] πρότερον (πότερον, al. manu πρότερον H) ἢν τύχῃ vulg. – Lisez ὁπότερον ἄν; H a gardé une partie de la vraie leçon. Voy. en effet le § 52 où il est parlé du refroidissement. — [4] πρῶτον EHv. – Ante περὶ addunt μὲν EH. – οὖν om., restit. al. manu H. – νοσερὸν EH. — [5] πρότερον EHIJK. – προτέρῳ vulg. – γίνηται EHIK. – γένηται vulg. — [6] ποιέειν J. – μὴ pro μὲν EFHK. – τοῦ δὲ vulg. – τοῦδε Mack. – La correction de Mack me paraît bonne. — [7] ᾗ J. – σκῦθαι E. – εἰς E. — [8] ἀφριᾷ PQ', Lind. – ἀφριεῖ vulg. – ἀκρίνεται (sic), al. manu διακρίνεται H. – μὲν om. K. – πίον I. – βούτηρον J. — [9] τοῦτο EHPQ'. – τοῦτο om. vulg. – ἀποκρίνοντες EHIK. – μιν H. – μὶν vulg. – μὲν Ald. – μῖν J. – ὀρὸς H. — [10] οὕτω E. – οὕτως vulg. – πᾶν τὸ ἐν vulg. – παντὸς ἐν Mack. – Cette correction de Mack me paraît sûre. – οἱ πάντα om. K'. – πάντα om. FGIJK. – ὑπὸ τῶν ἀρχῶν, ὧν εἴρηκα, διίσταται· διίσταται δὲ οἱ πάντα Lind. — [11] τὸ

sus. Voilà ce que j'avais à dire sur la violence et sur les effets qu'elle produit. Ainsi ces deux principes morbides, la violence et la pléthore, si le sujet n'a pas d'évacuation, échauffent les corps.

51. (*Effets que produisent les intempéries célestes. L'auteur examine d'abord le cas où elles échauffent. Comparaison de ce qui se passe alors dans le corps avec ce qui se passe dans le lait quand on fait le beurre. Les maladies sont en général dénommées d'après le lieu où se fixe l'humeur peccante. Mais l'auteur ne s'en tient pas au cas des intempéries célestes; et il étend son explication aux deux autres principes morbifiques qu'il a distingués.*) Quant au troisième, les intempéries célestes, triomphant, chez le sujet, d'une des humeurs, échauffent ou refroidissent jusqu'à maladie, suivant leur nature. Je parlerai d'abord de l'échauffement. S'il est dans le même homme quelque chose de morbide semblable à ce que j'ai dit dans le cas précédent, si les conditions célestes deviennent défavorables et que le sujet s'échauffe, je dis que tout l'humide échauffé s'agite dans le corps; cela est le résultat de la violence; et, dans l'agitation de l'humide, si le sujet a des évacuations, la sécrétion est en proportion de la surabondance. Ceci est comparable à ce que les Scythes font avec le lait de jument; versant ce lait dans des vases creux en bois, ils l'agitent; agité, il écume et se sépare; la partie grasse qu'ils nomment beurre gagne la surface à cause de sa légèreté; la partie pesante et épaisse gagne le fond; c'est celle qu'ils séparent et font sécher; et, quand elle est concrétée et séchée, ils la nomment hippace; le petit-lait est au milieu. Il en est de même chez l'homme; tout l'humide étant troublé dans le corps, les principes dont j'ai parlé dissolvent tout; la bile va en haut, étant la plus légère, puis le sang, en troisième lieu le phlegme, enfin l'eau, qui est la plus pesante de ces humeurs. Les choses étant ainsi, l'humeur qui abonde le plus dans la maladie, par

om., restit. al. manu H. – διίσταται om. Lind. – ὑγροτάτων pro ὑγρῶν τούτων FG. – ὕδρωψ IK. δὲ ὄντων vulg. — [12] ἥ pro ἦ IIJ. – ἐς E, Lind. – εἰς vulg. – εἴη vulg. – Lisez ἔῃ.

ἵνα ἂν πλεῖστον ἔῃ· [1]ἐν δὲ τῇ ταραχῇ εὐρυχωρίης γινομένης, [2]εἰλέεται ἀποκεκριμένον καὶ θερμαίνει τὸ σῶμα, ἢ στήριξιν ἔχον πη τοῦ σώματος σὺν τῷ ἄλλῳ ὑγρῷ τῷ συνεόντι ἐν τῷ ἄλλῳ χωρίῳ πόνον καὶ θέρμην [3]παρέχει. Τὸ δὲ θερμαινόμενον προσξυνθερμαίνει καὶ τὸ ἄλλο σῶμα, [4]κἀκ τούτου ὁ πυρετὸς γίνεται, καὶ [5]γίνεται μᾶλλον ἀπὸ τῆς χολῆς καὶ τοῦ φλέγματος, καὶ [6]ἀπὸ τοῦ αἵματος· θερμότατα γὰρ ταῦτά ἐστι, καὶ ἤν τι τούτων ἀποστηρίξῃ [7]πη τοῦ σώματος, ὡς ἐπιτοπλεῖστον ὠνόμασται κεῖθεν τὸ νούσημα καὶ ἐπωνυμίην ἔχει. [8]Ἀπὸ δὲ τοῦ ὕδρωπος οὐ γίνεται πυρετὸς ἰσχυρὸς κάρτα οὐδὲ πουλυχρόνιος· τῷ γὰρ πυρὶ οὐκ ἀγαθὴ τροφὴ ὁ ὕδρωψ ἐστίν. Καὶ ταῦτα μὲν ἐς τοῦτο εἴρηται. Πρὶν δὲ ταραχθῆναι οὐκ ἔχει ἐκχωρέειν τὸ πλεῖον τοῦ ὑγροῦ, [9]ἀλλ' ἄνω καὶ κάτω εἰλέεται μεμιγμένον τῷ ἄλλῳ ὑγρῷ· πάντα γὰρ πλήρεά ἐστιν· ἐν δὲ τῇ ταραχῇ κενοῦται· κενοῦται δέ τι ἕτερον ἑτέρου μᾶλλον, καὶ τὸ πλεῖον ἐὸν χωρίον κατίσχει· καὶ τὸ μὲν ἀλλότριον οὐκ ἐπιμίσγεται τῷ ἄλλῳ, ἣν περιστηρίξῃ, πρὶν ἰσωθῇ ἐς δύναμιν· ἔστι δέ μιν ἰσοῦσθαι, καὶ ὃ [10]ἀπ' αὐτοῦ ἐπανέλθοι ἐς τὴν νοῦσον, ἕως οὗ ἀποκαθαρθῇ τὸ χωρίον, ὁποίη ἡ κάθαρσίς ἐστιν. Ἢν [11]δὴ πολλὸν ἔῃ τὸ πονέον, ἐπαυρίσκεται καὶ ἐξαναλίσκεται ἐς τὴν νοῦσον καὶ τὸ ἄλλο πρὶν ὑγιηρὸν ἐόν, καὶ θνήσκει ὁ ἄνθρωπος τρόπῳ τοιῷδε· προσεπαυρίσκεται [12]γάρ, ἢν μηκέτι τροφὴν ἀρκέουσαν ἔχῃ τὸ νούσημα, καὶ ἐξαναλίσκεται ὑπὸ τοῦ ὑγροῦ τοῦ ἐν τῷ ἐπιπόνῳ χωρίῳ ἐόντος· πρῶτον [13]τὸ πλησίον προσλαμβάνει, εἶτα ἐπὶ [14]τῷ προσωτέρω νέμεται, μέχρις ἂν ἐξαναλωθῇ καὶ μηκέτι ἐνῇ τῷ σώματι τροφή· τροφὴ δέ ἐστιν ἀνθρώπῳ τὸ κοῦφον ὑγρόν. Ὥσπερ οὖν [15]δὴ τὸ πρῶτον μὲν κατὰ μικρὸν σηπεδὼν ἐγένετο, ἢν μάλιστα θερμαίνηται, ἔπειτα ἐπὴν κεῖθι τῇ [16]σηπεδόνι

[1] Ἢν pro ἐν G. – ἐὰν pro ἐν IJv. — [2] εἰλ. EHIJK, Ald. – ἕλκεται K'. – στήρηξιν vulg. – στήριξιν EGHJK, Ald., Lind., Mack. – ἔχοντι ἢ pro ἔχον πη EFGHIJK, Ald. – συνενεόντι EKP'Q'. – ξυνενεόντι Lind. — [3] παρέχον EFGIJKv. — [4] καὶ ἐκ EHI. — [5] γίν. om. L, Lind., Mack. — [6] ἀπὸ om. E. — [7] ἢ pro πη (E, al. manu πῆ) FGHIK. – ῇ J. – τι ἢ Ald. – ὀνόμασται J. – νόσημα EHJ. — [8] ἀπὸ τοῦ δὲ IJ. – ὕδροπος IK. – πουλυχρόνιος H. – πολυχρ. vulg. – τὸ pro τῷ H. – ὕδροψ IK. – εἰς E. — [9] ἀλλὰ EH. – εἰλ. EHI. – ἐπιμίγνυται K. – περιστηρίζῃ H. — [10] ἐπ' vulg. – Je lis ἀπ' avec Foes, si toutefois il y a quelque chose de certain dans des raisonnements aussi arbitraires et aussi futiles. – ὁκοίη Mack. — [11] δὲ HIKK'Q', Lind., Mack. – καὶ ἐξαναλ. om. FGIJK. – ἀποθνήσκει EP'. — [12] γὰρ om. FG, Ald. – πλὴν (H, al. manu γὰρ) v. – δὲ pro γὰρ P'. – Post προσεπ. addunt ὁ ἄνθρωπος FG, Ald. – ἔχοι E. – νόσημα EHJ.

l'effet du trouble survenu dans les principes, se rend dans le lieu où elle est en plus grande quantité. Or, le trouble ayant fait de la place, elle tourbillonne en se séparant et échauffe le corps, ou, se fixant en un point avec l'humide qui se trouve en cet autre lieu, elle cause souffrance et chaleur. La partie échauffée échauffe à son tour le reste du corps, et de là provient la fièvre, laquelle est produite surtout par la bile, le phlegme et le sang; car ce sont les humeurs les plus chaudes. C'est en général d'après l'endroit du corps où l'une de ces humeurs se fixe, que la maladie reçoit sa dénomination. Quant à l'eau, la fièvre qui en résulte n'est ni très-intense ni de longue durée; car l'eau n'est pas une bonne nourriture pour le feu. Voilà ce que j'avais à dire là-dessus. Avant d'avoir été troublé, le surplus de l'humide n'a pas moyen de sortir, mais il tourbillonne en haut et en bas, mêlé au reste de l'humide; car tout est plein; mais, dans le trouble, du vide se fait; l'un se vide plus que l'autre, et l'endroit qui est plein garde; la partie étrangère ne se mêle pas au reste qui s'est fixé, avant que ne soit faite l'égalisation des forces. Or, il y a à égaliser cette partie et ce qui, pour entretenir la maladie, s'en détache, jusqu'à ce que le lieu se vide par l'évacuation qui lui est propre. Si la portion morbide est abondante, le reste qui était sain antécédemment est pris et consumé pour la maladie, et le sujet succombe de cette façon : la maladie, n'ayant plus d'aliment suffisant, puise, et le liquide qui est dans le lieu malade consume; d'abord, c'est à l'endroit le plus voisin, puis cela gagne plus loin, jusqu'à ce que tout soit consumé et qu'il ne reste plus de nourriture pour le corps. La nourriture pour l'homme est le liquide qui est léger. C'est ainsi que d'abord la putréfaction s'établit peu à peu, par l'effet de la chaleur; puis,

- ἀλλ' ἐξαναλίσκεται vulg. - Je pense qu'il faut lire καὶ au lieu de ἀλλ'. Voy. deux lignes plus haut. — [13] γὰρ τὸ K'. - τὰ pro τὸ K. - εἶτ' H. — [14] τὸ K'. - τὸ κοῦφον ἀνθρώπω ὑγρὸν EH. — [15] δὴ K. - χρὴ pro δὴ (χρὴ om. L) vulg. - τὸ om. EH. - μὲν EH. - μὲν om. vulg. — [16] σιπεδόνι J. - μηκέτ' H. - ἐξαρκέῃ EHv. - ἀρκέει vulg. - ἀρκεῖ GJK.

τροφὴ μηκέτι ἐξαρκέῃ, νέμεται ἀπὸ τοῦ ὑγιέος τοῦ πλησίον ἀρξαμένη πρὸς τὸ σῶμα, μέχρις [1]ἂν ὅλον τὸ σαρκῶδες σήψῃ, ἐπὴν δὲ ἐπίπαν νέμηται, ἀναλοῦται ἡ τροφὴ τῇ σηπεδόνι· οὕτω [2]δὴ καὶ τῇ νούσῳ, ἀπὸ τοῦ χωρίου κείνου ἀρξαμένη, ἐπὴν κεῖθι ἡ τροφὴ μηκέτι ἀρκέουσα ἐνῇ, νέμεται ἐς τὸ πρόσω ἀπὸ τοῦ πλησίον ἀρξαμένη· ἐπὴν [3]γὰρ ἐπίπαν ἔλθῃ, ἀνήλωται ἡ τροφὴ τῇ νούσῳ, καὶ ἕτερον ὑγιηρὸν οὐκ ἐπικρατέει, κἢν [4]τοῦτο γένηται, θνήσκει ὁ ἄνθρωπος. Ἔτι δὲ ἐν τῇ ταραχῇ, ἐπὴν τοῦτο πλέονος χωρίου λάβηται καὶ μὴ στηρίξῃ, ἀλλὰ [5]εἰλέηται, οὐκ ἔτι τῷ ἄλλῳ μίσγεται, ἀλλ' ἐξαναλίσκεται ἐς τὴν νοῦσον, ἣν μὴ ἀποκαθαίρηται· εἶτα αἱ φλέβες ὑπερπίμπλανται, πλήθουσαι δὲ κάρτα οὐ χαλῶσιν ἐξ αὐτέων, πρὶν εὐρυχωρίη [6]σφιν γένηται. Ὥσπερ ἐπήν τις πληγῇ καρτερῶς, ὑποτρέχει ὑπὸ τὴν πληγὴν αἷμα, ἅτε τῶν φλεβέων κενωθεισέων ὑπὸ τῆς πληγῆς· ἐπὴν δὲ αἱ σάρκες πλησθῶσιν ὅκως περ σπόγγος, οὐκ ἔτι χαλῶσιν, ἀλλὰ ἔχουσιν ἐν ἑωυτῇσι μέχρις οὗ κενωθῇ [7]κατὰ χωρίον τι αὐτέων· ἀπολαμβάνει γάρ, ἐπὴν ξυλλεχθῇ, τὸ αἷμα τὴν ὁδὸν ὑπὸ πλήθεος. Ὥσπερ [8]οὖν εἴ τις λήκυθον σκυτίνην στενόστομον ἐμπλήσας ἀλείφατος καταστρέψειεν ἐπὶ [9]τὸ στόμα κατ' ἰθύ, κἂν τοῦτο ποιήσειεν, οὐ δυνήσεται ἐξ αὐτῆς χωρέειν τὸ ἔλαιον, ἔπνιξε γὰρ τὴν ὁδὸν τὸ ἄλειφα, ἅτε πολλὸν καὶ ἅλες ἐπικείμενον· ἢν δὲ ἐπικλίνῃ τις τὴν λήκυθον, κενεὴ ἔσται ἡ ἀπὸ τοῦ στόματος πνὶξ, [10]καὶ ῥεύσεται ἐξ αὐτῆς τὸ ἄλειφα· τὸ [11] δ' αὐτὸ ποιήσειε καὶ ἐπὶ τραπέζης ὕδωρ· οὕτω [12]δὴ καὶ ἐπὴν τὸ πλεῖον ὑγρὸν ἐν τῷ σώματι ὑπὸ τῆς ταραχῆς χωρίου λάβηται καὶ πλήσειε τὰς φλέβας, οὐκ ἔτι ἀπέρχεται ἐξ αὐτέων πρὶν ἢ ὅκου ἐστὶ τὸ χωρίον κενεὸν, τῆς τροφῆς ἐξαναλισκομένης τῇ νούσῳ.

[1] Ἂν om., restit. al. manu H. – ἐπὴν EIJv. – ἐπεὶ vulg. – δὲ ὡς vulg. – ὡς om. (H, restit. al. manu) v. – ἀνάλωται Lind. — [2] δὲ EHIJK. – καὶ [ἐν] τῇ Lind. – ἀπὸ [γὰρ] τοῦ Lind. – εἰς H. — [3] γὰρ om., restit. al. manu H. – ἔλθῃ EH. – ἀνήλωται EHP', Mack. – ἀνάλωται vulg. – ἐπικρατέῃ E. – ἐπικραταίει J. — [4] τούτω J. – ῥαχῇ (sic), al. manu ταραχῇ H. — [5] εἰλέεται EH. – εἰλεοῦται (sic) K. – εἰς Mack. – ὑπερπίμπλαται, al. manu ὑπερπίμπλανται H. – ὑποπ...., al. manu ὑπερπ.... E. – οὐχ ἁλῶσιν E. — [6] σφιν H. – σφὶν vulg. – τὴν EFHIK, Mack. – τὴν om. vulg. – κενωθησέων K. – οὐκέτι E. – ἀλλ' E. – ἑωυτοῖσι FIJ. — [7] Post κατὰ addunt τὸ E (H, al. manu) P'Q', Lind., Mack. – τοιαυτέων pro τι αὐτέων J. – συλλεχθῇ EHIJK. — [8] οὖν K. – οὖν om. vulg. — [9] τὸ om., restit. al. manu H. – δυνήσηται vulg. – δυνήσεται IK. – χωρίειν (sic) H. – ἄλειφαρ EP', Lind. — [10] ἢ (ἡ IK) vulg. – καὶ pro ἢ (E, al. manu ἡ) Q', Lind., Mack. – ἄλειφαρ EP', Lind. — [11] δ' om. K. — [12] δὲ EH, Merc. in

quand en cet endroit l'aliment ne lui suffit plus, elle gagne vers le corps, envahissant la partie saine qui est voisine, jusqu'à ce qu'elle corrompe toute la chair; et, quand elle a tout consumé, la nourriture lui fait défaut. De même pour la maladie; elle commence par le lieu dont il s'agit, puis, n'y trouvant plus une nourriture suffisante, elle gagne en avant et marche de proche en proche; et, quand elle a tout gagné, la nourriture lui fait défaut, il n'est plus rien de sain qui puisse prendre le dessus, et, à ce point, le patient succombe. De plus, dans le trouble, quand la portion morbide est reçue dans un lieu trop grand et ne se fixe pas, elle tourbillonne, ne se mêle pas au reste, et se consume au profit de la maladie, à moins d'évacuation; puis les veines s'emplissent excessivement; étant ainsi pleines, elles ne lâchent rien avant que de la place ne leur soit faite. Ainsi, un coup violent étant reçu, le sang afflue sous le coup, vu que les veines se vident par cette violence; les chairs, s'étant remplies comme une éponge, ne lâchent plus rien, mais elles retiennent jusqu'à ce qu'elles offrent en un point quelconque une issue à l'évacuation. En effet, le sang rassemblé ferme la voie en raison de sa quantité. Prenez par exemple un *lécythus* (*sorte de vase pour l'huile et les parfums*) de cuir, à goulot étroit, remplissez-le d'huile et renversez-le perpendiculairement sur l'ouverture; en cette situation, l'huile ne pourra pas sortir; elle étrangle la voie par son abondance et par la pression qu'elle exerce d'en haut; mais, si l'on incline le *lécythus*, l'étranglement du goulot cessera, et l'huile s'écoulera. De l'eau sur une table se comporte de même (*comp.* de la Nature de l'enfant, p. 503). Pareillement, quand un liquide surabondant s'est, par l'effet du trouble, emparé d'un lieu dans le corps, et qu'il a rempli les veines, les veines ne lâchent plus rien jusqu'à ce que le lieu se soit vidé par la consommation d'aliments que la maladie a faite. Voilà ce que j'avais à dire pour le cas où il y a dans le corps quelque

marg. – πλεῖον EFGHIJ, Lind., Mack. – πλεῖστον vulg. – χωρίον EK. – οὐκέτι F.

Καὶ ταῦτα μὲν εἴρηταί μοι, ἐπήν τι ἐν τῷ σώματι ᾖ, ἀφ' ὧν αἱ νοῦσοι γίνονται, πληθυόντων καὶ τῶν ἄλλων, καὶ ὅκως [1] ἐργάζονται αἱ ἀρχαὶ τὴν θέρμην καὶ τὴν ταραχὴν τῷ ὑγρῷ ὑπάγουσαι ἐς νοῦσον.

✓ 52. Νῦν δὲ ἐρέω τὰ ἐκ τοῦ οὐρανοῦ, ἢν ἀνεπιτήδεια γένηται [2] φύντα ἐν τῷ σώματι, τίνα ἐργάζεται καὶ ὁκόταν κρατέῃ ἐν τῷ σώματι τοῦ ὑγροῦ. Φημὶ [3] δὲ τὸ μέν τι ξυστρέφεσθαι καὶ παχύνεσθαι τῆς ἐν τῷ ἀνθρώπῳ ἰκμάδος, ἐπὴν τηχθῇ ἕως νοῦσον ἀποτέκῃ, [4] τὸ δὲ διευρύνεσθαι καὶ διακρίνεσθαι. Ἔοικε δὲ καὶ τοῦτο τὸ πάθος γάλακτι· ἐπήν τις ὀπὸν [5] ἐμβάλῃ ἐς τὸ γάλα, ψύξις γενομένη ἐπ' αὐτῷ τῷ γάλακτι συνεπάχυνε τὸ γάλα καὶ ὁμοῦ ἐποίησε, [6] περὶ δὲ τὸ παχυνθὲν ὁ ὀῤῥός ἐστιν· οὕτω [7] δὴ καὶ ἐν τῷ ἀνθρώπῳ τὸ ὑγρὸν τῆς ἐπινόσου ψύξιος [8] γενομένης ξυνεστράφη καὶ ξυνεπαχύνθη· περὶ δὲ αὐτὸν τὸν [9] ὕδρωπα ἔτι καὶ τὸ ἄλλο ὑγρὸν, ὁκόσῳ ἂν πλεῖον ἔῃ ἐν τῷ ἄλλῳ σώματι, [10] ξυμμέμικται· ἀλλ' ἢν μὲν ἐς τὴν κοιλίην ἔλθῃ, διετάραξε τὴν κόπρον καὶ στρόφον ἐν τῇ κοιλίῃ ἐποίησε καὶ διεξῆλθεν ἔξω, οὐδὲν μέγα σῖνος παρασχόν· ἢν δὲ μὴ ἐς τὴν κοιλίην ἔλθῃ, [11] στηρίζει τοῦ σώματός πη, ἵνα οἱ εὐρυχωρίη πλείστη. Εἰλέεται οὖν [12] ἐξευρὸν ἑωυτῷ εὐρυχωρίην, καὶ τοῦ μὲν ὕδρωπος τὸ ἀποκριθὲν ἀπὸ τῆς συστροφῆς ἔρχεται, ἅτε [13] ψυχρότατον καὶ βαρύτατον ἐὸν ἐν τῷ σώματι, ἐς τὸ κάτω, καὶ περὶ τὰ ὀστέα καὶ περὶ τὰ νεῦρα [14] εἰλούμενον ἔτι μᾶλλον τὸ σῶμα ἐς φλεγμονὴν ἄγει, καὶ δηλονότι περὶ τὰ νεῦρα καὶ μάλιστα περὶ τὰ ὀστέα ὁ ὕδρωψ ὁ τὸν [15] κρυμὸν ποιέων ἐστί. Τὰ γὰρ ὀστώδεα τοῦ σώματος μάλιστα ῥιγεῖ ὁ ἄνθρωπος, καὶ αἱ τρίχες ὀρθαὶ ἵστανται ξυστραφείσης τῆς ἐπιδερμίδος καὶ ξηροτέ-

[1] Ἐργάζωνται H. — [2] φῦντα HIJ. — [3] δὲ om., restit. al. manu H. – μέντοι pro μέν τι FG, Ald., Frob., Lind., Mack. – συστρ. EHIJK. — [4] τότε (τό τε GIJ, Ald.; τὸ δὲ K', Mack) vulg. – δὲ εὐρύνεσθαι, al. manu διευ E. — [5] ἐμβάλλῃ G, Ald. — [6] ἀπὸ pro περὶ Lind. – ὁ om. K. — [7] δὲ EH. – ἐν τῷ ἀνθρ. EH. – ἐπ' (ἐπὶ IJK) ἀνθρ. vulg. – ἐπὶ τῷ ἀνθρ. L, Lind., Mack. – ἐπὶ νούσου vulg. – ἐπινούσου E. – ἐπινόσου (I, ead. manu ἐπινούσου) K. — [8] γεν. JK. – γιν. (γιγν. Lind.) vulg. – συνεστρ. καὶ συνεπ. EHIJK. — [9] ὕδροπα IJK. – ἐστὶ vulg. – ἔτι pro ἐστὶ K'. — [10] σ. EHIJK. – ἐς EHIK, Lind. – εἰς vulg. – παρασχὼν vulg. – παρασχὸν EH, Lind. — [11] στηρίξει EFGJK, Ald. – εἰλ. EHK, Ald. — [12] ἐξευρὼν E. – ἑαυτὸ G. – ὕδροπος IJK. — [13] ψυχρότητος καὶ βαρύτητος J. – ἐν τῷ σώματι ἐὸν EH. — [14] εἰλούμενα (εἰλ. EH, Ald.) vulg. – εἰλούμενον K', Foes in not., Lind., Mack. – Cette correction est certaine. – εἰλ.... μάλιστα om. FGIJK. – δῆλον ὅτι HK', Lind., Mack. – καὶ π. τ. ὀστέα μάλιστα EH.

chose d'où proviennent les maladies, avec la plénitude concomitante du reste, et comment les principes morbifiques, allant vers la maladie, produisent la chaleur et le trouble dans l'humide.

52. (*Les intempéries célestes sont considérées dans leur action refroidissante. Comparaison avec l'effet de la présure sur le lait. Théorie du frisson.*) Maintenant, je vais parler des conditions célestes devenant nuisibles au corps, des effets qu'elles produisent et du moment où elles l'emportent sur l'humeur. Je dis que, de l'humeur qui est dans l'homme, quand elle est en colliquation au point d'engendrer la maladie, une part se coagule et s'épaissit, et une part se dilate et se sépare. Cette affection est encore comparable au lait. Si on jette de la présure dans ce liquide, le froid qui se fait sur le lait même l'épaissit et le coagule ; le sérum est autour de la partie épaissie. De même chez l'homme ; sous l'influence du refroidissement morbide, le liquide se coagule et s'épaissit ; et autour de l'eau même vient se mêler le reste de l'humide, en proportion de sa surabondance dans le corps. S'il se rend dans le ventre, il dérange les excréments, cause des tranchées et sort au dehors, sans faire grand mal ; mais, s'il ne se rend pas dans le ventre, il se fixe en un point quelconque, là où il trouve le plus de place. Il tourbillonne donc, se cherchant de la place ; et la partie d'eau qui a été séparée par la coagulation s'en va en bas, étant ce qu'il y a de plus froid et de plus pesant dans le corps ; s'enroulant autour des os et des nerfs, elle jette encore davantage le corps dans la phlegmasie, et manifestement c'est l'eau qui fait le froid autour des nerfs, et surtout autour des os. En effet, les parties osseuses sont celles où le froid est le plus ressenti, et les cheveux se dressent par la condensation de l'épiderme, qui devient plus sec qu'auparavant, vu que l'eau s'en va de là et s'enroule autour des os. Le lieu où l'humeur est dans le pre-

τ ὕδροψ IK. — [15] φλογμὸν Lind., Mack. – χυμὸν vulg. – Lisez κρυμόν ; voy. p. 592, l. dern. – ῥιγᾷ vulg. – ῥιγῶ (sic) Ald. – ῥιγεῖ v. – ῥιγοῖ Mack ex Æm. Porto. – αἱ om., restit. al. manu H. – συστρ. EHIJK.

ρης [1]γινομένης ἢ ἐν τῷ πρὶν χρόνῳ, ἅτε τοῦ ὕδρωπος ἐκλείποντος αὐτόθεν καὶ περὶ τὰ ὀστέα εἰληθέντος. Ἐντεῦθεν δὴ μοῦνον τὸ χωρίον, ὅκου ἐστὶ τὸν πρῶτον χρόνον, οὐ [2]δύναται κρυμὸν ποιέειν, ὅθεν καὶ τὸ ῥῖγος γίνεται· τὸ δὲ ἄλλο ὑγρὸν, τὸ ἰσώτατον παχυνθὲν, [3]τὸ μὲν ἐν τῷ σώματι παντί ἐστι· τὸ δὲ ὅσῳ πλέον, ἢν μὲν [4]μὴ τύχῃ ἡ κοιλίη πλέη ἐοῦσα καὶ ὀλίγον ᾖ τὸ λυπέον, ἔρχεται ἔστιν ὅτε ἐς τὴν κοιλίην καὶ σῖνος οὐδὲν μέγα ἐποίησε, καὶ ποτὲ μὲν πῦρ οὐκ ἐπήγαγε, ποτὲ δὲ βληχρὸν καὶ [5]ἀσινὲς, καὶ ἐξῆλθε τὸ πονέον ξὺν τῇ κόπρῳ. Ἢν δὲ ἡ κοιλίη πλήρης ἐοῦσα πολλὸν ἔχῃ τὸ λυπέον, κίνδυνός ἐστιν ἐξ [6]αὐτέου νοῦσόν τινα γενέσθαι, ἤν πη στηρίζῃ τὸ σινεόμενον ἢ πρὸς πλευρὸν ἢ πρὸς σπλάγχνον τι, ἤ πη ἄλλῃ ξυνθερμαίνῃ, [7]ἵνα ξυνετάραξε πρῶτον. Ἐκεῖνο δὲ οὐχὶ κάρτα πρὸς τῆς θέρμης ὑπὸ τοῦ ὕδρωπος νενικημένον, ἅτε περὶ τοῖσιν ὀστέοισιν ἐόντος καὶ πλησίον τοῦ μυελοῦ, χρόνῳ μᾶλλον ἐσάσσει, [8]πρῶτον μὲν αὐτὸ τὸ χωρίον, ἔπειτα τὸ πλησίον αὐτοῦ, καὶ δὴ νέμεται ἐς τὸ προσωτέρω, καὶ ἡ κοιλίη [9]οἱ προσλαμβάνει, θερμὴ ἐοῦσα· ἔπειτα ἐπὶ μᾶλλον θερμαίνει ἥ τε κοιλίη καὶ τὸ σινόμενον. Τὸ δὲ ὑγρὸν [10]παχὺ θερμαινόμενον διαχέεται πρῶτον τὸ πλησίον τοῦ πονέοντος ἐόν· διαχεόμενον δὲ μίσγεται τῷ πονέοντι ὕδρωπι, εἶτα κενεώτερον ἐγένετο τοῦ σώματος ἐν τῇ [11]ξυστροφῇ, καὶ μέχρι τούτου ῥῖγος ἔχει, μέχρις οὗ ὁ ὕδρωψ τῷ ἄλλῳ [12]ὑγρῷ σύνεστιν.

53. Καὶ τὸ πῦρ ὧδε γεννηθὲν γίνεται· τὰ γὰρ πονέοντα πρὸς τὸ χωρίον στηρίξαντα θερμαινόμενον τὸ σῶμα ἀναγκάζει ἐς ἑωυτὸ πῦρ [13]δέχεσθαι· καὶ [14]ὑπὸ τοῦ σινεομένου καὶ ὑπὸ τῆς κοιλίης θερμανθὲν ἐπικρατέει τοῦ ἄλλου [15]ὕδρωπος, καὶ οὕτω τὸ μὲν πῦρ μετὰ τὸν κρυ-

[1] Γιγν. Lind. – ὕδροπος IJK. – αὐτόθι E. – εἰλ. H. – εἰλιθέντος E. — [2] δύνανται J. – χυμὸν vulg. – φλογμὸν Lind., Mack. – Lisez κρυμόν. – ἐσώτατον al. manu K. — [3] τὸ ἐν τῷ vulg. – τὸ μὲν τῷ K', Mack. – τὸ μὲν ἐν τῷ Lind. – La correction de Lind. est la meilleure. — [4] δὴ vulg. – μὴ pro δὴ K'v, Lind., Mack. – ἔρχεται ponit post κοιλίην Lind. – σίνος K. — [5] ἀσθενὲς K. – σὺν EIJK. – εἰ δ' ἡ EH. — [6] αὐτοῦ EH. – νόσον EH. – γεννέσθαι (sic) H. – στηρίζῃ EH, Lind. – στηρίξῃ vulg. – τι EH. – τι om. vulg. – συνθ. EHIJK. – ξυνθερμήνῃ Lind. — [7] ἵνα ξυνταράξῃ (σ. EH) πρῶτον ἐκεῖνο. Ὁκόσοισι δὲ οὐχὶ κάρτα πρὸς (πρὸ L) τῆς θέρμης ὑπὸ τοῦ ὕδρωπος (ὕδροπος IJK) νενικημένον (κεκινημένον K) (ὁκόσοι δὲ οὐχὶ κάρτα πρὸ τῆς θέρμης ὑπὸ τοῦ ὕδρωπος νενικημένοι Lind.), ἅτε.... μυελοῦ· χρόνῳ δὲ (δὴ K', Lind.; δὲ om. K) μᾶλλον ὅσα εἴη (πονέουσι pro ὅσα εἴη Lind.; ἐσήσει sic pro ὅσα εἴη K') vulg. – ὁκόσοισι de vulg. me paraît à supprimer, ainsi que δὲ avec K. Quant à

mier temps, ne peut, seul, faire le froid, d'où provient aussi le frisson; le reste du liquide, épaissi et très-égal, est d'une part dans le corps entier; d'autre part ce qui est en excès, si le ventre n'est pas plein et que l'humeur peccante soit peu abondante, va parfois dans le ventre sans causer aucun grand mal, et parfois n'excite pas de fièvre, parfois en excite une faible et sans danger; l'humeur peccante sort avec les excréments. Mais, si le ventre est plein et l'humeur peccante en grande quantité, il est à craindre qu'une maladie n'en résulte, l'humeur nuisible se fixant ou sur le côté, ou sur un viscère, ou échauffant tout autre point où elle a d'abord causé du trouble. Ceci, quant à la chaleur, n'étant guère tempéré par l'eau, vu que l'eau est autour des os et dans le voisinage de la moelle, se fait sentir davantage au bout d'un certain temps, d'abord à l'endroit même, puis à l'endroit voisin, gagnant ainsi en avant; le ventre, qui est chaud, y puise; et alors le ventre et l'humeur peccante causent un surcroît de chaleur. L'humeur épaisse, étant échauffée, devient diffusible d'abord dans le voisinage du lieu affecté; devenue diffusible, elle se mêle à l'eau qui fait souffrir; puis, dans la coagulation, le corps éprouve des vides, et le frisson persiste jusqu'à ce que l'eau soit mêlée avec le reste de l'humeur.

53. (*Théorie de la fièvre. Résumé.*) Quant à la fièvre, elle se produit ainsi : les choses peccantes, se fixant dans le lieu, forcent le corps échauffé à recevoir en soi la fièvre; et, par l'action échauffante de l'humeur peccante et du ventre, le reste de l'eau est vaincu. C'est de la sorte que la fièvre arrive

l'inintelligible ὅσα εἴη, K' fournit l'indication de la vraie correction. Ces changements entraînent un changement de ponctuation, ainsi que la correction de συνταράξῃ, amené par ἵνα mal compris. — [8] καὶ πρ. μὲν Lind. – ἔπειτα δὲ τὸ Lind. — [9] οἱ I. – οἱ om. J. – ἓ K'. – καὶ θερμὴ ἐοῦ. J. – σινεόμενον Lind. — [10] ταχὺ K. – διαχεῖται E. – ὕδροπι IJK. — [11] σ. EHIJK. – ὕδροψ IK. — [12] σύνεστι K'. – συν. om. vulg. – Cette addition ou toute autre semblable est exigée par le sens. — [13] γίνεσθαι vulg. – δέχεσθαι K'. – Cette conjecture de Cornarius me paraît excellente. — [14] ὑπὲρ vulg. – ὑπὸ L, Mack. — [15] ὕδροπος IJK. – τὸν om. J. – κρημὸν G. – στηρίζῃ EH.

μὸν, ἤν πη τοῦ σώματος στηρίξῃ τὸ ὑγρὸν [1]τὸ πλεῖον. Ἢν δὲ εἰλέηται, τρόπῳ τοιῷδε γίνεται μετὰ τὸν κρυμὸν [2]τὸ πῦρ· εἰλέεται μάλιστα πονεόμενον περὶ τὴν κοιλίην καὶ τὴν ἄνω καὶ τὴν κάτω· [3]ἔνθεν γὰρ ἡ εὐρυχωρίη πλείστη ἐστίν· [4]εἰλεομένου δὲ αὐτοῦ πρῶτον τὰ πλησίον θερμαίνεται, τά τε σπλάγχνα καὶ τὰ ἐν τῇ κοιλίῃ ἐς τὴν θέρμην· ἔπειτα ἐπαυρίσκεται τῆς θέρμης καὶ τὸ ἄλλο ὑγρὸν διαχεόμενον, [5]καὶ μίσγεται τῷ ὕδρωπι, καὶ τὸ πῦρ μετὰ τὸ ῥῖγος ἐνθάδε γίνεται, [6]ἐπὴν εἰλέηται τὸ πονέον, ἀλλὰ [7]μὴ στηρίζῃ πρὸς τοῦ σώματός πη. Ταῦτα δέ μοι εἴρηται, ὅκως [8]τε τὸ ῥῖγος γίνεται τὸ νοσῶδες, καὶ [9]ὁκότε καὶ ὅκως καὶ ὁκοίης ἐξ ἀνάγκης ὁ πυρετὸς μετὰ τοῦτο ἐπεισπίπτει, καὶ αἵτινες [10]αἱ ἀρχαὶ τῶν νούσων εἰσὶ, καὶ ὁκοίην ἑκάστη αὐτέων νοῦσον ἐν τῷ σώματι ἐπάγει, καὶ ὅκως τε καὶ διότι ἐν τῇσι περισσῇσιν ἡμέρῃσιν αἱ νοῦσοι κρίνονται, καὶ [11]ὑπὸ τεῦ ὑγιαίνουσιν οἱ ἄνθρωποι, καὶ [12]ὑπὸ τεῦ νοσέουσι, καὶ [13]ὅκως ἥ τε χολὴ καὶ τὸ φλέγμα πλέον καὶ ἔλασσον γίνεται, καὶ τἄλλα ἐν [14]αὐτῷ φύσει ἐόντα [15]ἀπέδειξα πολλὰ, [16]ὁκόσα ἐπεδέχετο οὗτος ὁ λόγος, καὶ ταῦτα μὲν εἰρημένα οὕτως τέλος ἔχει.

54. Νῦν [17]δὲ ἐρέω περὶ ἑλμίνθων τῶν πλατειῶν· γίνεσθαι γάρ φημι ἐν τῷ παιδίῳ ἐν τῇσι μήτρῃσιν ἐόντι· οὐ γάρ ἐστιν, ἐπὴν ἅπαξ ἐκ τῶν μητρέων ἐξέλθῃ, χρόνος τῇ κόπρῳ ἐν τῇ κοιλίῃ τοσοῦτος, ὥστε σαπείσης καὶ χρονισάσης ζῷον [18]παγῆναι ἐν αὐτῇ, ὅ τι τοσοῦτον μεγέθει γίνεται· ἀποπατέει γὰρ ἀεὶ τὴν ἕωλον κόπρον ἀνὰ πάσας ἡμέρας, ἢν μέλλῃ ὑγιαίνειν ὁ ἄνθρωπος· γίνοιτο δ' ἂν τοιοῦτο ζῷον οὐδ' ἢν πολλῶν ἡμερέων μὴ ἀποπατήσῃ ὁ ἄνθρωπος. Πολλὰ

[1] Τὸ om. E. - εἰλ. EH. - τρόπῳ.... εἰλέεται om. FGIJK. — [2] τὸ πῦρ εἰλέηται (εἰλέεται Lind., Mack; εἰλέεται EH) μάλιστα vulg. - Lisez εἰλέεται et changez la ponctuation en mettant un point en haut après πῦρ. — [3] ὅθεν J. - γὰρ om. K. — [4] εἰλ. H, Ald. - εἰλευμένου J. - Post πρῶτον addit μὲν K. — [5] καὶ K', Mack. - καὶ om. vulg. - Ce καὶ est nécessaire. - ὕδροπι IJK. - κατὰ pro μετὰ Lind. — [6] ἐπὴν (addit δὲ K) μὴ (μὴ om., restit. al. manu H) εἰλέηται vulg. - Excellente leçon de H avant la correction. - εἰλ. E, Ald. — [7] μὴ (G, al. manu), Ald. - μὴ om. vulg. - Ce μὴ est indispensable. - στηρίζῃ EQ'. - στηρίξῃ vulg. - πρὸς, al. manu πρὸ H. — [8] Post τε addunt καὶ ὁκόθεν Lind., Mack. - τὸ om. FG. — [9] ὁκότευ FG, Ald. - ὁκόθεν Lind., Mack. - ὁπότευ HIJK, Frob. - ὁπότε E. - ἐπιπίπτει (H, al. manu ἐπεισπ.) v. - ἐμπίπτει E. — [10] αἱ om. EH. — [11] ὑπ' ὅτευ vulg. - ὑπό τευ EFGHIJK, Ald., Frob., Lind. - ὑπὸ τίνος Mack ex Æm. Porto. — [12] ὑπ' ὅτευ vulg. - ὑπό τευ EFGHIK, Ald., Frob., Lind. - πότευ sic J. - ὑπὸ τίνος Mack. — [13] ὅκως K'.

après le froid, si le liquide en excès se fixe en quelque point du corps. Si au contraire le liquide tourbillonne, la fièvre se produit ainsi après le froid : l'humeur peccante tourbillonne surtout autour du ventre, tant le ventre supérieur que l'inférieur; là, en effet, est le plus d'espace; dans ce tourbillonnement s'échauffent d'abord les parties voisines, à savoir : les viscères et ce qui est dans le ventre; puis le reste du liquide, par sa diffusion, prend part à la chaleur, il se mêle à l'eau, et la fièvre suit le frisson alors que l'humeur peccante tourbillonne sans se fixer en un point du corps. Ainsi, j'ai dit comment se produit le frisson morbide, quand, comment et par quelle nécessité la fièvre y succède, quels sont les principes des maladies, quelle maladie chacun de ces principes engendre dans le corps, comment et pourquoi les maladies se jugent les jours impairs, d'où vient la santé aux hommes et d'où vient la maladie, comment la bile et le phlegme augmentent et diminuent; j'ai exposé toutes les autres conditions naturelles à l'homme, qui entraient dans le plan de ce discours; et là s'arrête ce que j'avais à dire là-dessus.

54. (*Des vers plats. Ils s'engendrent chez le fœtus. Argumentation contre ceux qui pensent que le ver plat se reproduit par engendrement de petits. Signes de sa présence.*) Maintenant je vais parler des vers plats. Je dis qu'ils s'engendrent chez l'enfant qui est dans les matrices; car il n'y a pas, une fois qu'il en est sorti, un séjour assez prolongé des excréments dans le ventre, pour que, de leur corruption et de leur séjour, se forme un animal d'une telle taille. On rend chaque jour les excréments de la veille, en état de santé; mais, quand même on

- ὅτι om. vulg. - τὰ ἄλλα H. - τἆλλα (sic) K. — [14] αὐτῇ K', Lind., Mack. — [15] ἐν (ἐν om. Lind.) τῇ ἀνθρωπίνῃ ἀπέδειξα (ἀπ. ἐν τῇ ἀνθρ. EH) vulg. - Je regarde ἐν τῇ ἀνθρωπίνῃ comme une glose passée de la marge dans le texte, et je supprime ces mots. - πουλλὰ G, Ald., Frob. — [16] ὁκόσα καὶ vulg. - καὶ om. EH. - ἀπεδέχετο vulg. - ἐπεδέχετο EIJ. - ἐπεδέξατο KL. - ἀπεδέξατο Lind. — [17] δ' EIJ. - ἐλμ. J, Ald., Frob. - τῶν om. EH. — [18] ταγῆναι K. - γεγῆναι (sic) I. - αἰεὶ Lind. - ἁπάσας pro ἀνὰ πάσας FGIJK. - πάσης ἡμέρης E. - ὑγιαίνειν repetit G. - τοιοῦτον E. - μὴ om., restit. al. manu H. - ἀποπατήσει Frob. - ἀποπατήσειεν EGHIJK, Ald. - ὁ EH. - ὁ om. vulg.

γὰρ γίνεται ἐν τῇσι μήτρῃσιν ἐόντι τῷ παιδίῳ [1]τρόπῳ τοιῷδε· ἐπὴν γένηται πῦος καυσῶδες ἀπὸ τοῦ γάλακτος καὶ τοῦ αἵματος συσσηπομένου καὶ πλεονάζοντος, ἅτε γλυκέος ἐόντος, ζῶον [2]ἀπογεννᾶται αὐτόθι· γίνονται δὲ καὶ στρογγύλαι ἕλμινθες αὐτοῦ [3]τρόπῳ τῷ αὐτῷ. Σημήϊον δὲ ὅτι τοῦθ' οὕτως ἔχει, ἐπὴν τὰ παιδία γένηται, ψωμίζουσιν αὐτὰ αἱ γυναῖκες τὰ αὐτὰ φάρμακα, ὥστε [4]ἡ κόπρος ἐξέλθῃ ἐκ τοῦ εντέρου καὶ μὴ ξυγκαυθῇ καὶ ἅμα τὸ ἔντερον εὐρυνθῇ· [5]ἐπὴν ψωμίσωσι, [6]πολλὰ δὴ τῶν παιδίων καὶ στρογγύλας καὶ πλατείας ἕλμινθας ἀπεπάτησαν ἅμα τῇ κόπρῳ τῇ πρώτῃ· ἢν δὲ μὴ ἀποπατήσῃ, γίνονται καὶ ἐν τῇσι γαστῆρσι. Καὶ αἱ μὲν στρογγύλαι τίκτουσιν, [7]αἱ δὲ πλατεῖαι οὐκ ἔτι. Καίτοι φασὶ τίκτειν αὐτάς· ἀποπατέει γὰρ ὁ ἄνθρωπος ἔχων τὴν [8]ἕλμινθα τὴν πλατεῖαν, ὁκοῖον σικύου σπέρμα ἄλλοτε καὶ ἄλλοτε σὺν τῇ κόπρῳ, καὶ [9]τοῦτο εἰσὶν οἱ φήσαντες τῶν ἀνθρώπων τῆς ἕλμινθος τέκνα εἶναι· ἐμοὶ δὲ δοκέουσι λέγειν οὐκ ὀρθῶς οἱ τὰ τοιαῦτα λέγοντες· οὔτε γὰρ ἀφ' ἑνὸς ζώου γένοιτ' ἂν τοσαῦτα [10]νεόσσια, οὔτ' εὐρυχωρίη ἐστὶν ἐν τῷ ἐντέρῳ, ὡς ἐκτρέφειν τέκνα. Τῷ δὲ παιδίῳ [11]ἐκ τῶν μητρέων αὐξανομένῳ αὔξεται ἐν τῷ ἐντέρῳ καὶ ἡ ἕλμινς ἀπὸ τῶν ἐς τὴν κοιλίην ἐσιόντων, καὶ γίνεται ἴση τῷ ἐντέρῳ, τοῖσι μὲν ἅμα τῇ ἥβῃ, τοῖσι δὲ ὕστερον, τοῖσι δὲ πρόσθεν ὀλίγῳ. Καὶ ἐπὴν ἰσωθῇ τῷ ἐντέρῳ, ὁμοίως ἐπαύξεται, καὶ [12]ὁκόσα ἂν μέζω γένηται, ἀποκρίνεται ἀπὸ τοῦ ἀρχοῦ σὺν τῷ ἀποπάτῳ, καὶ ἐκπίπτει οἷον σικύου σπέρμα, πολλάκις δὲ καὶ [13]μέζω· ἔστι δὲ οἷσιν ὁδοιπορέουσιν [14]ἢ ταλαιπωρέουσι καὶ τῆς κοιλίης θερμαινομένης [15]ἔρχεται ἐς τὸ κάτω, καὶ ἐξίσχει ἐκ τοῦ ἀρχοῦ αὐτοῖσι [16]τὸ ἐκπεφυκὸς, τωὐτό τε ποιέει, καὶ ἀποκρίνεται ἀπὸ τοῦ

[1] Τοιῷδε τρ. EH. – ἐγγένηται H. – γίνηται E. – συσηπομένου (H, al. manu συσσ) IJ. — [2] ἐγγίνεται E (H, in marg. al. manu ἀπογεννᾶται) v. – δὲ om. K. – στρογγῦλαι E. – ἐλμ. IJ. — [3] τρόπω τοιῶδε τῶ αὐτῶ H. – τρ. τοιῶδε EP'Q', Mack. — [4] ἡ K. – ἂν (ἢν EHI) pro ἡ vulg. – καυθῇ EP'. — [5] ἐπὴν δὲ K'. — [6] πουλλὰ G, Ald., Frob. – δὲ EH. – ἐλμ. IJ. – γαστρῆσι EHK. – γάστρῃσι Mack. – στρογγῦλαι E. — [7] ἡ pro αἱ E. — [8] ἐλμ. IJ. – πλατείαν IJ. — [9] τοῦτο EFGHIJK, Ald. – τοῦτον vulg. – ἐλμ. IJ. – δὲ om. EH. — [10] νοσσία, al. manu νεόσια E. – νεόσια Ald., Frob. – οὔτε EH. – εὐριχωρίη G. – ἐντρέφειν (H, al. manu ἐκτ) v. — [11] ἐκ τ. μ. EHv. – ἐκ τ. μ. om. vulg. – ξυναύξεται Lind. – ἡ EFGHIJKL, Ald., Lind., Mack. – ἡ om. vulg. – ἔλμ. I. – ἔλμις J. — [12] ὁκόσῳ Mack ex Æm. Porto. – μέζω EHIJ. – μείζων Mack ex Æm. Porto. – μείζω vulg. — [13] μείζω EH. – μείζων Mack. — [14] ἢν ταλαιπωρέωσι EHIJK. — [15] ἄρχεται FHIK, Ald. — [16] τὸ (τὸ om. K') πεφυσηκὸς (πεφυκὸς L, Lind.) vulg.–

resterait plusieurs jours sans aller à la selle, un animal pareil ne serait pas engendré. En effet, beaucoup de choses se produisent chez l'enfant qui est dans les matrices, de cette façon : quand un pus ardent se forme du lait et du sang corrompus et surabondants, attendu qu'ils sont doux, cela donne, en cet endroit, naissance à un animal. Des vers ronds y naissent aussi de la même façon. Voici la preuve qu'il en est ainsi : aussitôt après la naissance des enfants, les femmes leur font prendre les mêmes médicaments afin que les excréments sortent de l'intestin, ne s'y calcinent pas, et en même temps afin que l'intestin soit élargi. Après cette administration, beaucoup d'enfants ont rendu des vers ronds et plats avec les premiers excréments ; s'ils ne vont pas à la selle, les vers se développent dans le ventre. Les vers ronds font des petits, les vers plats n'en font pas. Cependant on dit qu'ils en font ; en effet, le sujet qui a un ver plat rend de temps en temps, avec les selles, quelque chose de comparable à la graine de la courge (Ép. VII, 52), et il en est qui disent que ce sont les petits du ver. Ceux qui parlent ainsi me paraissent parler à tort ; car un seul animal ne produirait pas autant de petits, et l'intestin n'a pas de place suffisante pour mener à bien cette progéniture. Mais chez l'enfant qui, sorti des matrices, grandit, le ver grandit aussi à l'aide des substances ingérées dans le ventre, et il devient égal à l'intestin, chez les uns lors de la puberté, chez les autres plus tard, chez d'autres un peu auparavant. Quand il a atteint les dimensions de l'intestin, il ne croît pas moins ; à fur et mesure, tout ce qui dépasse ces dimensions est expulsé hors du rectum avec les selles ; et il tombe des parties semblables à de la graine de courge, parfois plus grosses. Quelquefois, dans une marche, dans une fatigue, et, le ventre étant échauffé, le ver descend, une portion fait saillie hors du rectum ; elle se sépare et tombe comme précédemment, ou bien

Je lis ἐκπεφυκός.– τοῦτό τε (τε om. K) ποιέει (τοῦτο δὲ ἐποιδέει Lind.) vulg. – ἀποπρίεται vulg. – ἀποκρίνεται Lind., Mack ex Æm. Porto. – Voy. quatre lignes plus haut.

ἀρχοῦ [1] ἢ ὀπίσω ἔρχεται. Σημήϊα δέ ἐστιν ὅτι οὐ τίκτει, ἀλλ' οὕτως ἔχει ὡς ἐγὼ λέγω· ἐπήν τις ἶηται τὸν ἄνθρωπον τὴν [2] ἕλμινθα καὶ φάρμακον διδῷ ποτὸν, ἢν μὲν τύχῃ ὁ ἄνθρωπος καλῶς παρεσκευασμένος, ἐξέρχεται ὅλη στρογγύλη γενομένη ὥσπερ σφαῖρα, καὶ ὑγιὴς γίνεται ὁ ἄνθρωπος· ἢν δὲ ἐς τὴν φαρμακείην [3] ἔρχηται εὐθὺ, ἀποῤῥήγνυται ἀπὸ τῆς [4] ἕλμινθος, ὁκόσον δύο ἢ τρεῖς πήχεας ἢ καὶ πλεῖον πολλῷ, καὶ ἐπὴν ἀποῤῥαγῇ, χρόνῳ πολλῷ οὐ γίνεται σὺν τῷ ἀποπάτῳ τὰ σημήϊα, ὕστερον δὲ αὔξεται· ταῦτα [5] δὲ ἱστόριά ἐστιν ὅτι οὐ τίκτει ἡ ἕλμινς, ἀλλὰ περιῤῥήγνυται· ἔστι δὲ τὸ εἶδος αὐτῆς ὁκοῖόν περ ἐντέρου ξύσμα λευκόν. Σημήϊα δὲ ἴσχει· ἀποπατέει [6] τε ἄλλοτε καὶ ἄλλοτε, οἷον σικύου σπέρμα, καὶ ἐπὴν νῆστις ὁ ἄνθρωπος ᾖ, ἀΐσσει πρὸς τὸ ἧπαρ ἄλλοτε καὶ ἄλλοτε καὶ πόνον παρέχει, [7] καὶ ἔστι μὲν ὅτε πτύαλα ἐπιῤῥέει τῷ στόματι, ἐπὴν ἀΐξῃ πρὸς τὸ ἧπαρ, [8] ὁτὲ δὲ οὐχί· ἔστι δὲ καὶ οἷσιν ἀναυδίην ἐμβάλλει ἐπὴν ἰσχυρῶς προσπέσῃ πρὸς τὸ ἧπαρ, καὶ πτύαλά τε [9] πολλὰ ῥέει ἐκ τοῦ στόματος χάρτα, ὀλίγῳ δὲ ὕστερον ἵσταται, καὶ στρόφος ἐγγίνεται πολλὸς ἐν τῇ κοιλίῃ ἄλλοτε καὶ ἄλλοτε· [10] ἔστι δ' ὅτε ἐς τὸ μετάφρενον ὀδύνη ἐμπίπτει, στηρίζει γὰρ [11] καὶ ἐνθάδε. Ἔστι δ' ὅτε ταῦτα σημήϊά ἐστιν ἕλμινθος πλατείης· γίνεται δὲ καὶ τόδε· ὃς ἔχει τοῦτο τὸ θηρίον, ἐν μὲν τῷ [12] ξύμπαντι χρόνῳ δεινόν τι χάρτα οὐκ ἂν γένοιτο, ἐπειδὰν δὲ ἀσθενήσῃ, μόλις ἀναφέρεται· καὶ γὰρ ἡ [13] ἕλμινς μετέχει τι μόριον τῶν εἰσιόντων ἐς τὴν κοιλίην. Ἢν μὲν οὖν μελεδανθῇ κατὰ τρόπον, ὑγιαίνεται· ἢν δὲ μὴ μελεδανθῇ, αὐτομάτη οὐκ ἐξέρχεται, θάνατον μέντοι οὐκ ἐπάγει, ἀλλὰ [14] ξυγκαταγηράσκει. Ταῦτα δέ μοι εἴρηται

[1] Ἢν δὲ μὴ, ὀπίσω ἔρχεται Lind.—[2] ἑλμ. IJ.–διδοῖ ἢ ποτὸν vulg.–Je pense qu'il faut lire φάρμακον διδῷ ποτὸν, l'ἢ venant par iotacisme de l'ι qui appartient au mot précédent.–παρασκευασμένος (sic) EJ.–Post σφαῖρα addunt στρογγύλη FH.—[3] ἔρχηται (ἔρχεται J; ἔχηται K'), καὶ (καὶ om. EHIJ LK'P'Q') εὐθεῖα (εὐθὺς Mack ex Æm. Porto) (ἔρχεται κατ' εὐθεῖαν Lind.) ἀποῤῥήγνυται vulg.–Le sens et la correspondance avec la phrase précédente conduisent à supprimer καὶ avec plusieurs manuscrits et à lire εὐθὺ au lieu de εὐθεῖα, εὐθὺ ἀποῤῥήγνυται s'étant facilement changé en εὐθεῖα ἀποῤῥήγνυται.—[4] ἑλμ. J.–πήχας (sic) E.–πολλῷ πλεῖον Lind.–δ' EH.—[5] δ' EH.–ἡ L, Lind., Mack.–ἡ om. vulg.–ἑλμ. I.—[6] τε om. EK.–τε καὶ K', Lind., Mack.–ᾖ om. (E, restit. al. manu) FGHIJK, Ald.—[7] καὶ om. FGJ.–ἀΐξει K.—[8] ὅτε IJ.–ἀναιδίην K.–ἐμβάλλειν Ald.—[9] πουλλὰ FG, Ald., Frob.–ἵσταται Foes in not., Mack.–ἀνίσταται vulg.–Bonne correction.–κοιλίη EHIJK.–κοιλίᾳ vulg.—[10] ἔστι.... ἐνθάδε om. J.–δ' ὅτε καὶ

elle rentre. Voici les preuves que le ver plat ne fait pas de petits et que les choses se passent ainsi que je dis : quand on traite pour le ver et qu'on administre un évacuant en potion, si le patient se trouve bien préparé, le ver sort tout entier, rond comme une boule, et la guérison s'ensuit. Mais, si la purgation est administrée sans préparation antécédente, une portion du ver se rompt, deux ou trois coudées ou même beaucoup plus; et, après cette rupture, il se passe beaucoup de temps sans que les signes reparaissent dans les selles; mais plus tard il s'accroît. Cela montre que le ver ne fait pas de petits, mais qu'il se rompt. Son apparence est comme une raclure blanche d'intestin. Voici les signes de cette affection : le patient rend de temps en temps par les selles quelque chose de comparable à la graine de courge; quand le sujet est à jeun, le ver se jette parfois sur le foie et cause de la douleur; et il arrive qu'un flot de salive afflue dans la bouche, quand le ver s'est jeté sur le foie; il arrive aussi que ce symptôme manque. Chez d'autres, il y a perte de la voix, quand le foie est ainsi attaqué fortement; beaucoup de salive coule hors de la bouche, et peu à peu le flux s'arrête; de fortes tranchées se font sentir de temps en temps dans le ventre. Parfois encore, la douleur s'empare du dos, car elle se fixe là aussi. Voilà quels sont parfois les signes du ver plat; mais il y a encore ceux-ci : celui qui a cet animal n'éprouvera pendant tout le temps aucun grand mal; puis, s'il est atteint de quelque débilité, il peut à peine se refaire; en effet, le ver prend une part des substances ingérées dans le ventre. Si le patient est traité convenablement, il guérit; sinon, le ver ne sort pas spontané-

vulg. - καὶ om. EH. - εἰς IK. - ὀδύνη ἐμπ. ἐς τὸ μ. EH. — [11] καὶ om. K. - δ' om. K'. - σήμια Ald. - ἐλμ. EIJ. - ὅς.... γένοιτο om. J. — [12] σ. EHIK. - τείνοντι vulg. - δεινόν τι Mercur., Lind., Mack. - Excellente correction. - δὲ om. K. - μόγις EH. — [13] ἕλμ. EIJ. - τὸ pro τι FG. - εἰς J. - μὲν om. E. - μελανθῇ (bis) vulg. - μελεδανθῇ (bis) P', Foes in not., Mack. - Correction évidente. - ὑγιαίνηται G, Ald. — [14] σ. EHIJK. - ἑλμ. EIJ. - σημεῖα I. - τοῦ νοσεύματος αὐτῆς (αὐτῆς om. P') vulg. - αὐτῆς καὶ τοῦ νοσεύματος EH. - τοῦ ἐξ αὐτῆς νοσεύματος Lind.

περὶ ἕλμινθος πλατείης, ὅθεν γίνεται, καὶ τὰ σημήια αὐτῆς καὶ τοῦ νοσεύματος.

55. Περὶ δὲ λιθίδος, [1]ἀρχὴ μὲν ἐγγίνεται ἀπὸ τοῦ γάλακτος τῇ νούσῳ, ἐπὴν τὸ παιδίον θηλάζῃ γάλα μὴ καθαρόν· τὸ δὲ γάλα γίνεται [2]ἐν τῇ τροφῷ οὐ καθαρὸν, ἐπὴν φλεγματώδεσι τροφῇσι καὶ σιτίοισι καὶ ποτοῖσι χρῆται μὴ καθαροῖσιν· [3]ξυμβάλλεται γὰρ πάντα τὰ ἐς τὴν κοιλίην πίπτοντα, ἐς τὸ γάλα. Ἔχει δὲ [4]καὶ τόδε οὕτως· ἢν ἡ τροφὸς μὴ ὑγιηρὴ ἔῃ, ἀλλὰ χολώδης ἢ ὑδρωποειδὴς ἢ αἱματώδης ἢ φλεγματώδης, καὶ γάλα γίνεται πονηρὸν τῷ παιδίῳ· συμβάλλεται γὰρ τὸ σῶμα καὶ ἡ κοιλίη· πλεῖστον δὲ ἄγει [5]αὐτὸ ἐς τὸ γάλα ὅ τι ἂν [6]αὐτὸ πλεῖστον ἔχῃ ἐν ἑωυτῷ. Καὶ τὸ παιδίον ἢν θηλάζῃ ἀπὸ τῆς τροφοῦ γάλα μὴ καθαρὸν, ἀλλὰ χολῶδες, ὡς ἔλεξα, ἐπίνοσον [7]γίνεται καὶ ἀσθενὲς, καὶ τὸ παρὸν μάλιστα λυπέει, μέχρις ἂν θηλάζῃ γάλα πονηρὸν καὶ [8]ἐπίνοσον. Καὶ ἐπὴν θηλάζῃ γάλα μὴ καθαρὸν, ἀλλὰ γεῶδες καὶ φλεγματῶδες, καὶ ἔχῃ τὸ παιδίον τὰς φλέβας [9]τὰς ἀπὸ τῆς κοιλίης ἐς τὴν κύστιν τεινούσας, εὐρείας καὶ ὁλκοὺς, χωρέηται δὲ καὶ τὸ ποτὸν καὶ τὸ γάλα ὑπὸ τῆς [10]τροφοῦ ἐς τὴν κοιλίην τοῦ παιδίου, [χωρέεται] ὁκοῖον ἕλκει ἀπὸ τῆς κοιλίης ἀπὸ τοῦ γάλακτος, τὸ πᾶν ὁμοίως ὅ τι ἂν αἱ φλέβες διωθέειν δύνωνται ἐς τὴν [11]κύστιν· καὶ ἥν τι ἐπὶ τῷ γάλακτι μὴ καθαρὸν ᾖ, τὸ ἐπαυρισκόμενον ἐν τῇ κύστει γίνεται λίθος τρόπῳ τοιῷδε. Ὥσπερ ἐφ' ὕδατι μὴ καθαρῷ ταραχθέντι ἐν κύλικι ἢ ἐν χαλκῷ καὶ καταστάντι ὑποστάθμη ἅλις γίνεται ἐν [12]τῷ μέσῳ, οὕτω καὶ ἐν τῇ κύστει ἀπὸ τοῦ οὔρου, μὴ καθαροῦ ἐόντος· καὶ οὐκ ἐξουρέεται, ἅτε ἐν τῷ κοίλῳ ἐοῦσα, καὶ μάλιστα [13]ἁλὴς γινομένη ὑπὸ ὀδύνης οὐ διέρχεται διὰ τῆς οὐρήσιος·

[1] Ἀρχὴν EH. – ἐγγίνεσθαι EHJ. — [2] ἐν τῇ τροφῇ vulg. – ἐκ τῆς τροφῆς Lind. – ἐν τῇ τροφῇ, cum ῷ ead. manu supra lin. K. – φλεγματώδησι, al. manu δε H. – Post καθαροῖσιν addit ἡ τροφὸς vulg. – ἡ τροφὸς om. EHv. — [3] σ. EHIJK. – πάντα τὰ Lind. – τὰ om. vulg. – Post πίπτ. addit ἐπ' αὐτῷ (αὐτῶν EHIJKL; αὐτῇ K', Mack) vulg. – Il m'a été impossible de tirer aucun sens de ces mots ; je les ai supprimés. — [4] χάρτα τούτω pro καὶ τόδε FG. – καὶ om. J. – τοῦτο pro τόδε IJ. – ὑγιαρὴ J. – ᾖ pro ἔῃ EH. – ὑδροποειδὴς IJK. — [5] αὐτῷ vulg. – αὐτῇ Mack. – Je lis αὐτό. — [6] αὐτῷ J. – αὐτὴ Mack. – ἑωυτῇ Mack. – τροφῆς G, Ald. — [7] Ante γ. addunt αὐτὸ EHv. – Post ἀσθ. addunt ἐκεῖνο E (G, al. manu) H. – μέχρι EH. – ἂν om. EH. — [8] ἐπίπονον, al. manu ἐπίνοσον H. — [9] τὰς om. EFG. – Ante εὐρ. addit καὶ E. – χωρέεται vulg. – Je lis χωρέηται. — [10] τροφῆς (E, al. manu οῦ) FGIJ, Ald. – J'ai ajouté entre crochets χωρέεται; mais moi-même je trouve une telle correction

ment; toutefois, il ne cause pas la mort, mais il persiste jusqu'à la vieillesse. Voilà ce que j'avais à dire sur le ver plat, d'où il provient, ses signes et ceux de la maladie qu'il cause.

55. *(De la lithiase. L'origine en est dans le lait de la nourrice. Comparaison avec la fusion de fer. Signes de la pierre dans la vessie.)* Quant à la lithiase, le principe de cette maladie est dans le lait, quand l'enfant tette un lait qui n'est pas pur; or, le lait perd sa pureté chez la nourrice quand elle use d'aliments échauffants, et d'aliments et de boissons qui ne sont pas purs; car tout ce qui est ingéré dans le ventre concourt à la formation du lait. Les choses se passent ainsi : si la nourrice n'est pas bien portante, mais qu'elle soit ou bilieuse, ou humide, ou sanguine, ou pituiteuse, le lait devient mauvais pour l'enfant. Le corps et le ventre fournissent; et ce qu'ils fournissent le plus abondamment au lait, c'est ce qu'ils ont eux-mêmes le plus en abondance. L'enfant, tettant un lait qui est non pas pur mais bilieux comme j'ai dit, devient maladif et faible, et cet effet dure tant que le lait tété est mauvais et morbifique. Si le lait impur est terreux et pituiteux, et que l'enfant ait les veines qui vont du ventre à la vessie, larges et absorbantes, tels sont la boisson et les aliments qui vont de la nourrice dans le ventre de l'enfant, et tel est ce qui est extrait du lait dans le ventre; la similitude est complète, du moins pour tout ce que les veines peuvent faire passer dans la vessie; et, si quelque chose d'impur est dans le lait, la partie absorbée devient pierre dans la vessie de cette façon : de même que dans une eau impure, troublée, qu'on met dans une coupe ou dans un vase de cuivre, et qu'on laisse déposer, il se forme un sédiment au milieu; de même dans la vessie, il se forme un sédiment de l'urine qui n'est pas pure. Et ce sédiment n'est pas expulsé en pissant, attendu qu'il est dans un creux; et,

très-incertaine. – ὀχεῖον P', Mack. – ὀχοίην vulg. — [11] κοιλίην vulg. – Je lis κύστιν, κοιλίην me paraissant opposé au sens. — [12] τῷ om., restit. al. manu H. – οὕτω E.– οὕτως GHIJKL, Ald.– οὗτος vulg.— [13] ἅλις vulg.– Lisez ἁλής. – ὑπὸ δίνης EIJK. – τῆς om. J.

πήγνυταί τε [1]ὑπὸ τοῦ φλέγματος ὠμοῦ ἐόντος, κόλλα γὰρ γίνεται τῇ ὑποστάθμῃ τὸ φλέγμα μεμιγμένον, καὶ [2]τὸ πρῶτον μικρὴ ἄχνη ἐπιγίνεται, ἔπειτα τὸ ἐπιὸν ψαμμῶδες προσγίνεται, κόλλης [3]γενομένης τοῦ φλέγματος τοῦ ἐν τῇ κύστει ἐνεόντος ἀπὸ τοῦ γάλακτος, καὶ αὔξεται, καὶ ὅ τι μὲν ἂν ὑγρὸν ἐν τῇ κολλήσει ἐπιγένηται ἐξουρέεται· Αὖθις [4]δὲ ἡ ὑποστάθμη στερεοῦται ἢ λιθοειδὴς γίνεται· ὥσπερ σίδηρος ἐκ τῶν λίθων καὶ τῆς γῆς συγκαιομένης γίνεται, καὶ ἐν μὲν τῇ πρώτῃ ἐς τὸ πῦρ ἐμβολῇ κεκόλληνται τῇ σκωρίῃ [5]οἱ λίθοι καὶ ἡ γῆ πρὸς ἄλληλα, καὶ ἐπὴν τὸ δεύτερον καὶ τὸ τρίτον ἐς τὸ πῦρ ἐμβληθῇ, ἡ μὲν σκωρίη [6]ἔξω ἔρχεται τηκομένη ἐκ τοῦ σιδήρου, καὶ ὄψει ὁρᾶται τὸ [7]γενόμενον· ὁ δὲ σίδηρος λιμπάνεται ἐν τῷ πυρὶ καὶ συμπίπτει προσδιδούσης τῆς σκωρίης καὶ γίνεται στερεός τε καὶ πυκνός· οὕτω [8]δὴ καὶ ἡ ὑποστάθμη ἐν τῇ κύστει· κόλλης γινομένης τοῦ φλέγματος, ἐξουρέεται [9]τὸ τηκόμενον ὑπὸ τοῦ οὔρου, αὕτη [10]δὲ συμπίπτει καὶ πυκνὴ γίνεται καὶ στερεοῦται ὥσπερ σίδηρος. Ἐπὴν δὲ συμπέσῃ καὶ στερεωθῇ, κλονέεται ἐν τῇ κύστει ἄνω καὶ κάτω, καὶ πόνον παρέχει κόπτουσα τὴν κύστιν, καὶ ἀποφέρει τι ἀπ' αὐτῆς ἐπὴν ἰσχυρῶς κόπτῃ καὶ [11]ἕλκῃ· τὸ δὲ ἀποφερόμενον ἔτι μᾶλλον τῷ ἐπιόντι ψαμμώδεϊ σύμπηξιν ἐργάζεται· καὶ ὁ λίθος γίνεται τρόπῳ τοιῷδε ἀπὸ τοῦ γάλακτος ἐν τῇ κύστει. [12]Ἔστι δ' ὅτε γίνεται πρὸς τὸ αἰδοῖον ἢ ἄλλη τις κώλυσις ἀπὸ τούτου γίνεται· ἄλλοτε γὰρ καὶ ἄλλοτε, ἐπὴν [13]οὐρήσῃ, ταχέως ἐπιλαμβάνεται τῆς οὐρήθρης. Ἢν δὲ τοῦ παιδίου ἤδη

[1] Ἀπὸ K. - ἐν τῇ K. — [2] τὸ om. EH. - ἤχνη (sic) J. — [3] γεν. E. - γιν. vulg. — [4] τε pro δὲ H. - ὑποστάθμης J. — [5] οἱ om. vulg. - οἱ a disparu par l'effet de l'iotacisme à cause de l'η qui termine le mot précédent. — [6] οἱ ἔξω vulg. - οἱ om. E (H, restit. al. manu), Mack. - ὑπὸ pro ἐκ L, Lind. — [7] γεν. Lind. - γιν. vulg. — [8] δὲ, al. manu δὴ H. — [9] τὸ K', Mack. - τὸ om. vulg. - ἀπὸ HP'Q', Lind., Mack. — [10] δὲ καὶ EQ'. - κλοναίεται G. — [11] ἑλκώῃ K', Mack. - ἐπιφερόμενον vulg. - Je lis ἀποφερόμενον avec les traducteurs. - ἀπιόντι vulg. - Voy. plus haut, l. 3, τὸ ἐπιὸν ψαμμῶδες. - ἐργάζεται ὁ λίθος, καὶ γίνεται τρόπῳ vulg. - ἔτι μᾶλλον τοῦ ἀπιόντος ψαμμώδεος σύμπηξιν ἐργάζεται K', Mack. - ἐργάζεται· ἐξ οὗ ὁ λίθος L, Lind. - καὶ ὁ λίθος γίνεται τρόπῳ Foes in not., Mack. - ἐν τῇ κύστει EH. - ἐς τὴν κύστιν vulg. — [12] ἔστι δ' ὅτε (δὲ ὅτε H; δὲ ὅτι E) γίνεται, κἢν τὸ παίδιον ἐόνγε (ἐόν τε L) ἢ ἄλλη τις ἀπὸ τούτου γένηται (γίνεται K) vulg. - ἔστι δ' ὅτε γίνεται, κἢν τῷ παιδίῳ ἐόντι ἄση τις ἀπὸ τούτου γένηται K', Lind., Mack. - Cette dernière leçon a été suivie par Foes; mais sa traduction même montre qu'un tel texte n'a pas de sens : Interdum vero oritur (lapis) si, cum adhuc puer existit, ex eo anxietas quædam contingat. Il semble que, pour resti-

quand il est devenu considérable, la douleur empêche qu'il ne sorte avec l'urine. Il se solidifie par la pituite, qui est crue; la pituite, mêlée au sédiment, devient de la colle. Et d'abord, c'est une sorte de petit duvet; puis, le sable qui arrive s'ajoute par la colle de la pituite qui, provenant du lait, est dans la vessie. Alors le sédiment s'accroît, et ce qui, dans ce collage, est humide, est expulsé par la miction. Derechef, le sédiment se solidifie ou devient pierreux. C'est ainsi que le fer provient des pierres et de la terre brûlées simultanément. Dans la première exposition au feu, les pierres et la terre se collent ensemble avec la scorie; mais, à la seconde et à la troisième cuite, la scorie fondue se sépare du fer, et ce phénomène est manifeste aux yeux; le fer reste dans le feu, tombe abandonné par la scorie, et devient solide et compacte. Il en est de même du sédiment dans la vessie; la colle de la pituite s'étant faite, ce qui est dissous par l'urine est expulsé, et le sédiment tombe, devient compacte, et se solidifie comme le fer. S'étant ainsi déposé et solidifié, il est agité dans la vessie en haut et en bas, la frappe, y cause de la douleur, et en emporte quelque chose en la frappant fortement et en l'ulcérant. Ce qui en est emporté est une nouvelle cause de concrétion pour le sable qui arrive. C'est ainsi que la pierre se forme par le lait dans la vessie. Parfois il arrive qu'elle s'applique aux parties génitales, ou qu'il en résulte quelque autre empêchement; en effet, l'enfant, de temps en temps, après avoir uriné, saisit vivement le pénis. Si la pierre se forme quand l'enfant est déjà grand et par l'usage des fruits de la terre, la douleur ne se fait pas sentir avant qu'il prenne lui-même ses aliments. Voilà ce que

tuer ce passage, on doive consulter le passage parallèle Des Airs, des Eaux et des Lieux, § 9 (t. II, p. 38) : καὶ ὁκόταν οὐρέῃ, πρὸς τὸν στόμαχον τῆς κύστιος προσπίπτει ὑπὸ τοῦ οὔρου βιαζόμενον, καὶ κωλύει οὐρέειν, καὶ ὀδύνην παρέχει ἰσχυρήν· ὥστε τὰ αἰδοῖα τρίβουσι καὶ ἕλκουσι τὰ παίδια τὰ λιθιῶντα· δοκέει γὰρ αὐτοῖσι τὸ αἴτιον ἐνταῦθα εἶναι τῆς οὐρήσιος. Cependant ce n'est qu'après le plus grand doute que je propose la leçon suivante : ἔστι δ' ὅτε γίνεται πρὸς τὸ αἰδοῖον ἢ ἄλλη τις κώλυσις γίνεται. — [13] οὐρῆσαι EGHIJ, Ald. - ἐπιλαμβάνει Hv. - ἐπιλαμβάνῃ E.

αὐξανομένου λίθος γένηται ἀπὸ [1] γεωτραγίης, ὁ πόνος οὐ πάρεστίν οἱ πρὶν ἢ σῖτον αὐτὸς ἑωυτῷ αἴρηται. [2] Καὶ ταῦτα μὲν ἐς τοῦτό μοι εἴρηται. Σημήϊα δὲ ἡ νοῦσος [3] ἔχει πέντε· ἐπήν τε οὐρῆσαι θέλῃ, πονέεται, καὶ τὸ οὖρον κατ' ὀλίγον ῥέει ὥσπερ στραγγουρικοῖσι, καὶ ἔστιν ὕφαιμον οἷα τῆς κύστιος ἡλκωμένης ὑπὸ τοῦ λίθου, καὶ ἡ κύστις [4] φλεγμαίνει· ἀλλὰ τοῦτο μὲν ἀφανές· σημήϊον δὲ ἀκροποσθίη· ἔστιν ὅτε διουρέεται ψαμμώδεα. Ὑπὸ τοιούτων δὲ οἵων ἐγὼ ἐρέω, [5] διουρέεται· ἔστιν ὅτε λίθοι δύο [6] ἢ καὶ πλείονες ἕτεροι σμικροὶ τρόπῳ τῷ αὐτῷ, ὥσπερ καὶ τὴν [7] μίαν εἴρηκα, γίνονται· γίνεται δὲ καὶ ὑπὸ τοιούτου· ἐπὴν ὁ λίθος [8] ξυμπαγῇ, καὶ βάθος γένηται ἐς τὴν κύστιν τῇ ψάμμῳ τῇ [9] γενομένῃ χωρὶς, ἐλθούσης δὲ τῆς ψάμμου ὁ λίθος μὴ προσλάβῃ πρὸς ἑωυτῷ, ἀλλὰ βαρυτέρη καὶ [10] πλείων γένηται, [ἢ] ὥστε μὴ πήγνυσθαι αὐτὴν πρὸς ἑωυτὴν, καὶ οὕτως δύο λίθοι γίνονται· γίνονται δὲ καὶ πλείονες τρόπῳ τῷ αὐτῷ, καὶ ξυγκρουομένων πρὸς ἀλλήλους ἐν τῇ κλονήσει περιθραύεται καὶ διουρέεται [11] τὸ ψαμμῶδες. Ἔστι δ' ὅτε καὶ ἐπὴν κατέλθῃ ψάμμος [12] ἐς τὴν κύστιν, καὶ μὴ προσπαγῇ.

56. Λέγουσι δέ τινες [13] ὅτι τὸ πινόμενον ἐς τὸν πλεύμονα ἔρχεται, ἐκ δὲ τούτου ἐς τὸ ἄλλο σῶμα· οὗτοι δὲ οἱ ταῦτα λέγοντες διαβάλλονται τούτῳ, [14] ᾧ μέλλω ἐρέειν· ὅτι ὁ πλεύμων κοῖλός ἐστι καὶ πρὸς αὐτῷ ἐστι σύριγξ· ὁ δὲ [15] πλεύμων εἰ μὴ κοῖλος ἦν καί οἱ ἡ σύριγξ προσεί-

[1] Γεωτρωγίης Foes in not., Mack.– κρεωφαγίης Lind. ex Mercur. conjectura.– Schneider dans son Dict. rend ce mot par *alimentation avec les fruits de la terre;* Foes, par *terræ esu.* Le sens est tout à fait incertain non-seulement de ce mot mais de la phrase entière. Je n'ai rien pour y donner quelque lumière.– ἢ pro οἱ EFGHIJK, Ald.– αἴρηται (sic) K, Ald. — [2] καὶ om. FGJK. — [3] ἴσχει H.– τε om. J.– ῥέῃ G, Ald.– κύστεως EH.– εἱλκωμένης H. — [4] φλεγμαινομένη G.– ἀκροπισθίη J.– ἀκροπισθείη FG.– ὅτι pro ὅτε E.– οἷον, al. manu οἵων H. — [5] διουρέεται δ' (δὲ IJ; δ' om. K) ἔστιν vulg.– ἔστι δ' ὅτε διουρέεται λίθος, ἢ δύο ἢ καὶ πλείονες Lind.– Je supprime δ', et je mets un point en haut après διουρέεται. — [6] λίθους δύο ἢ (ἢ om. E) καὶ πλείονας· ἕτεροι δὲ σμικροὶ (μικροὶ EH) (σμικροὺς γεννομένους sic pro ἕτεροι δὲ σμικροὶ K') τρόπῳ vulg.– Je lis, guidé par le sens, λίθοι δύο ἢ καὶ πλείονες ἕτεροι σμικροὶ τρόπῳ. — [7] ψάμμον pro μίαν Lind.– La correction de Lind. paraît fausse : sans doute l'auteur a mis : *d'autres petites pierres se forment de la façon que j'ai dit pour une.* Mais alors, à moins de changer violemment τὴν μίαν en τὸν ἕνα, il faut reconnaître qu'il a bien singulièrement mis un genre pour l'autre. Voy. ἐρυθρᾷ λίθῳ, de la Nat. de la femme, § 99.– εἴρηκα· γίνεται (γίνονται K', Foes in not., Mack) δὲ

j'avais à dire là-dessus. Cette maladie a cinq signes douleur quand on veut uriner; émission goutte à goutte de l'urine comme dans la strangurie; urine sanguinolente, la vessie étant ulcérée par la pierre; inflammation de la vessie, invisible à la vérité, mais dont le signe est au prépuce; parfois émission de sable avec l'urine. Voici pourquoi du sable est rendu avec l'urine : il arrive parfois que deux pierres ou même plusieurs petites se forment de la même façon que j'ai dit pour une seule; cette formation de plusieurs pierres s'opère encore quand la pierre qui est déjà faite ne s'adjoint pas le sable qui arrive, et qui trouve à se loger séparément dans les profondeurs de la vessie; le sable devient alors trop pesant et trop abondant pour ne pas se concréter à part. C'est ainsi que se forment deux pierres, ou même davantage. Ces pierres frappant l'une contre l'autre, le choc les émiette, et du sable est rendu. Il en est encore rendu quand le sable qui descend dans la vessie ne se prend pas en pierre.

54. (*Discussion contre ceux qui soutiennent qu'une partie de la boisson passe dans les poumons. Cette opinion était vulgaire dans la haute antiquité; voy.* t. I, p. 377. *Usage de l'épiglotte. Cette discussion est amenée parce que l'auteur veut parler de l'hydropisie, et qu'il a besoin, pour son explication, d'un fait vrai, à savoir que la boisson va dans le ventre.*) Quelques-uns disent que la boisson va dans le poumon et de là dans le reste du corps. Ceux qui soutiennent cette opinion sont trompés par ce que je vais dire, à savoir : que le poumon est creux et qu'un tuyau y tient. Mais, si le poumon n'était pas creux et

vulg.– Je lis γίνονται· γίνεται δέ.– ὑπὸ τοῦ τοιούτου vulg.– τοῦ om. EGHIJK, Ald. —[8] ξ. G, Ald. – σ. vulg. – γίνηται EGIK. – γίνεται J. — [9] γιν. EH. — [10] πλείω E.– ἢ om. vulg.– J'ajoute ἢ entre crochets; sans cette addition, la phrase ne me semble pas intelligible, à moins qu'on ne supprime μή.– ἀλλήλων FG. – ἐν HIJKν, Lind. – ἐν om. vulg. — [11] τῷ J. — [12] ἐς EHν. – πρὸς vulg. — [13] Post ὅτι addit ἂν al. manu H. – τὸ om. EFGHJ, Ald. – πνεύμονα EGJK. — [14] ὁ J.– πν. EGJK.— [15] πν. EGIJK.– καὶ (addunt οἱ EHP'Q', Lind.) ἡ (ἡ om., restit. al. manu H; οἱ pro ἡ Mack) σ. vulg. – φθεγγόμενα EFGHIJK, Ald.

χετο, οὐκ ἂν ἐφώνει τὰ ζῶα· φθεγγόμεθα γὰρ ἀπὸ τοῦ [1]πλεύμονος ὅτι κοῖλός ἐστι καί οἱ ἡ σύριγξ πρόσεστι· διαρθροῖ δὲ τὸν φθόγγον τὰ χείλεα καὶ ἡ γλῶσσα· κάλλιον δέ μοι περὶ τούτου δεδήλωται ἐν τῇ [2]περιπλευμονίῃ. Τοῖσιν οὖν δοκέουσιν ἀνθρώποισιν τὸ ποτὸν ἐς τὸν [3]πλεύμονα φέρεσθαι ἐναντιώσομαι· ἔχει δὲ οὕτως· χωρέει τὸ ποτὸν ἐς τὴν κοιλίην, [4]ἀπὸ δὲ τῆς κοιλίης τὸ ἄλλο σῶμα ἀπαυρίσκεται. Νοῆσαι δὲ χρὴ [5]ὁκόσα μέλλω ἐρέειν· λέγω δὲ ἱστόρια, ὅτι τὸ ποτὸν οὐ χωρέει ἐς τὸν πλεύμονα, ἀλλὰ ἐς τὴν κοιλίην, τάδε. Εἰ γὰρ τὸ ποτὸν χωρέει ἐς τὸν πλεύμονα, [6]ὁκόταν ὁ πλεύμων πλησθῇ, οὐκ ἂν ῥηϊδίως [φημὶ] τὸν ἄνθρωπον ἀναπνέειν οὐδὲ φθέγγεσθαι δύνασθαι· οὐ γὰρ ἂν εἴη τὸ ἀντηχέον τῷ [7]πλεύμονι πλήρεϊ ἐόντι· καὶ ἓν μὲν τοῦτο ἱστόριόν ἐστιν. Ἔπειτα εἰ ἐχώρεε τὸ ποτὸν ἐς τὸν [8]πλεύμονα, τὰ σιτία ἐν ἡμῖν ξηρὰ ἐόντα οὐκ ἂν ὁμοίως ἐπέσσετο· δύο δὲ ἱστόρια ταῦτά ἐστι. Καὶ τὰ φάρμακα δὲ τὰ ὑπήλατα ἐπὴν [9]πίωμεν, χωρέει ἡμῖν ἔξω τῆς κοιλίης· ἔχει δὲ καὶ τόδε οὕτως· ὁκόσα φάρμακα [10]καθαρτικά ἐστιν ἢ ἄνω ἢ κάτω ἢ καὶ ἀμφότερα, ταῦτα ποιέει· πάντα καίει κάρτα, καὶ τὰ μὲν ἰσχυρὰ αὐτῶν ἢν τύχῃ ἅψασθαί τι τῶν ἁπαλῶν τοῦ σώματος, ἑλκοῖ· τὰ δὲ μαλακώτερα ἄραδον ποιέει, τοῦ χρωτὸς ὅ τι ἂν [11]ἀλειφθῇ· εἰ δὲ ἔλθοι τι τούτων τῶν φαρμάκων ἐς τὸν πλεύμονα, δοκέει ἄν μοί τι μέγα ποιῆσαι κακόν· τὸ γὰρ φλέγμα τὸ ἀπὸ τῆς κεφαλῆς ἐν κάρτα ὀλίγῳ χρόνῳ ἑλκοῖ· ἁπαλὸν γὰρ καὶ ἀραιὸν χρῆμά ἐστιν ὁ [12]πλεύμων, καὶ ἢν ἑλκωθῇ, οὐ καλῶς ἕξει κεῖνος ὁ ἄνθρωπος διά γε πολλά. Ἡ δὲ κοιλίη ὑπὸ τοῦ φαρμάκου οὐχ ἑλκοῦται, ὅτι χρῆμά ἐστιν ἰσχυρὸν [13]ὥσπερ δέρμα· καὶ τῶν μὲν Λιβύων χρέονται οἱ πλεῖστοι τῶν κτηνέων τοῖσι μὲν δέρμασιν ἀντὶ

[1] Πν. EGIJK. – καί οἱ Lind. – οἱ om. vulg. – πρόσετι vulg. – πρόσεστι LK', Lind., Mack. – Post πρ. addit κοίλη al. manu H. – διαρθροῖ EFHIJL, Lind. – διαρθρεῖ vulg. — [2] περιπν. EGHIJK, Ald. – ἄνθρωποι, al. manu ἀνθρώποισι H. — [3] πν. EGHIJK. – ἔχει δὲ οὐχ ὥσπερ χωρέει τὸ FGIJv. – ἔχει δὲ οὐχ ὡς χωρέει τὸ (E, al. manu ἔχει δὲ οὕτως· χωρέει τὸ) (H, ἔχει δὲ ὧδε· οὐχ ὥσπερ χωρέει τό). – χωρέειν vulg. – χωρέει Ald., Lind., Mack. — [4] Ante ἀπὸ addit al. manu οὕτω καὶ εἰς τὸν πνεύμονα H. – ἐς (εἰς J) τὸ ἄλλο vulg. – Il faut omettre la préposition comme le conseille Heringa; voy. Érot., éd. Franz, p. 58. – ἐπαυρίσκεται EJP. — [5] ὁπ. GIJ. – τὸ om. EGIJK, Ald. – εἰς IJK. – πν. EGHIJK. – ἀλλὰ.... πλεύμονα om. (E, restit. al. manu sine τὸ ποτὸν) FGHIJK. — [6] Post ὁκ. addit δὲ al. manu H. – πν. EGIJK. – φημὶ om. vulg. – J'ai ajouté φημὶ entre crochets à cause de l'accusatif. – ἀναπνέειν EH. – ἀναπνεῖν vulg. — [7] πν. EGHIJK. – πλήρεϊ GHJ, Ald. – πλήρει vulg. –

pourvu d'un tuyau, les animaux n'auraient pas de voix; nous émettons des sons à l'aide du poumon, en raison de ce qu'il est creux et qu'un tuyau y est adjoint; le son est articulé par les lèvres et la langue. J'ai plus amplement expliqué cela dans la péripneumonie (*Promesse non tenue ou livre perdu,* voy. t. I, p. 58). A ceux donc qui croient que la boisson est portée dans le poumon, j'oppose ma réfutation. Les choses sont ainsi: la boisson se rend dans le ventre, et de là elle est absorbée par le reste du corps. Il faut faire attention à ce que je vais dire; ce sont autant de preuves que la boisson passe, non dans le poumon, mais dans le ventre. Si la boisson passe dans le poumon, je dis que, le poumon étant rempli, on ne pourra facilement ni respirer ni parler; il n'y aurait en effet rien qui fît écho au poumon, étant plein; voilà une première preuve. Puis, si la boisson allait dans le poumon, les aliments, étant secs dans notre corps, ne seraient pas aussi bien digérés. Voilà deux preuves. Les médicaments évacuants que nous buvons sortent par le ventre; or, voyez ce qu'il en est : les médicaments qui sont évacuants par le haut ou par le bas, ou même par les deux voies, produisent les mêmes effets; tous échauffent fortement; les énergiques, si par hasard ils s'attachent à quelque partie tendre du corps, l'ulcèrent; les faibles causent du trouble, à quelque point du corps qu'ils touchent; mais, si quelqu'un de ces médicaments venait au poumon, il me semble qu'il causerait beaucoup de mal; le phlegme qui descend de la tête ulcère le poumon en très-peu de temps; car le poumon est chose molle et lâche, et, une fois ulcéré, la santé s'en trouvera singulièrement altérée pour beaucoup de raisons. Mais le ventre n'est pas ulcéré par le médicament, attendu

τούτω EH. — [8] πν. GIJ. - ἐν K', Mack. - ἂν pro ἐν vulg. — [9] πίωμεν.... φάρμακα om. K. - χωρέει ἡμῖν ἔξω τῆς κοιλίης EHP'. - χωρέει τῆς κοιλίης ἔξω vulg. — [10] φθαρτικὰ E. - ἡμῖν φθαρτικὰ Q'. - ταῦτα vulg. - Je lis ταὐτά. — [11] ἐλλειφθῇ Lind. - ληφθῇ (L, vel ἐλλειφθῇ) K'. - ἔλθῃ, al. manu ἔλθοι E. - πν. EGHIJK. - μέγα τι EH. — [12] πν. EGHIJK. - ἕξῃ F. - ἕξει om., restit. al. manu H. - ἐκεῖνος EH. - γε om. EH. - πουλλὰ G, Ald., Frob. — [13] ὥσπερ δηλαδὴ vulg. - δηλαδὴ om. (H, restit. al. manu) v.

ἱματίων, τῇσι δὲ κοιλίῃσιν ἀντὶ θυλάκων· ἰσχυρὸν γὰρ χρῆμα ἡ κοιλίη ἐστίν. Ἔπειτα ἐπὴν ὑπὸ οἴνου μέλανος [1]θωρηχθῶσιν οἱ ἄνθρωποι, ἀποπατέουσι μέλανα. Ταῦτα δὲ πάντα ἱστόριά ἐστι, καὶ ἐπὴν σκόροδα φάγωμεν ἤ τι ἄλλο ὀδμαλέον βρῶμα, διουρέομεν ὀζόμενον τοῦ βρώματος. Ταῦτα μὲν τὰ [2]ἱστόριά ἐστιν· ἔξεστι δὲ σκέψασθαι καὶ τόδε ὅ τι μέλλω ἐρέειν· εἴ τις κυκεῶνα [3]πίοι ἢ ἄλητον ἑφθὸν ῥοφοίη, ἤ τι ἄλλο τοιοῦτο, καὶ ἔλθοι ἐς τὸν πλεύμονα τοῦτο, δοκέομεν ἂν αὐτὸν οὐδὲ ζώειν οὐδὲ ὀλίγον χρόνον· ἐπὴν γάρ τι μικρὸν ἔλθῃ ἐς τὸν [4]πλεύμονα φλέγμα ἢ ἐς τὴν σύριγγα αὐτοῦ, πολλὴ βὴξ τε καὶ ἰσχυρὴ γίνεται καὶ σπασμός· εἰ δ' οὖν ἄρα καὶ [5]ζώει ὁ ἄνθρωπος πιὼν τὸν κυκεῶνα ἢ τὸ ἄλητον ῥοφέων, πεσσομένου τοῦ ῥοφήματος, θέρμην ἂν δοκέω πολλήν τε καὶ ἰσχυρὴν τῷ σώματι γίνεσθαι καὶ πόνον πολλόν, [6]ὥστε μὴ ἀποπατοίη κατὰ τρόπον εἰ ἐς τὸν πλεύμονα ἔλθοι. Ταῦτα δὲ ἱστόρια ἑπτά ἐστιν· ἔπειτα τὸ γάλα πῶς ἂν ἔτρεφε τὰ παιδία, εἴ γε χωρέοι πρὸς τὸν [7]πλεύμονα; τοῦτο δὲ ἱστόριον ἄλλο μοι, καὶ ταῦτα οὐδ' ἂν ἐπηγαγόμην ἔγωγε τῷ λόγῳ [8]τοιοῦτο ἱστόριον οὐδὲν, εἰ μὴ ὅτι πολλοὶ κάρτα τῶν ἀνθρώπων τὸ ποτὸν δοκέουσιν ἐς τὸν πλεύμονα χωρέειν, καὶ ἀνάγκη ἐστὶ πρὸς τὰ ἰσχυρῶς δοκέοντα, τὰ πολλὰ ἱστόρια ἐπάγεσθαι, εἴ τις μέλλει τὸν [9]ἀκόντα ἐκ τῆς πρὶν γνώμης μεταστρέψαι τοῖσιν ἑωυτοῦ λόγοισι πείσειν. Καὶ διὰ τόδε οὐ χωρέει τὸ ποτὸν ἐς τὸν [10]πλεύμονα, ἀλλ' ἐς τὴν κοιλίην, ὅτι προσαφὴς αὐτῇ ἐστιν ὁ στόμαχος τοῦ ἀνθρώπου ἀεὶ χάσκων, καὶ χωρέει ἐς ἐκεῖνον, καὶ ἅμα ἐπίκειται τῇ σύριγγι τοῦ [11]πλεύμονος, ὥσπερ κισσοῦ φύλλον, ὥστε οὐκ ἂν παρακαθιεῖ ἐν τῇ [12]καταπόσει, εἰ χωρέει ἐς αὐτόν. Καὶ ταῦτα ἐς τοῦτό μοι εἴρηται.

[1] Θωριχθῶσιν E, Lind. – φάγομεν J. — [2] ἱστόρια ἔξεστι, σκέψασθαι δὲ (σκ. δὲ ἔξεστι Lind.) vulg. – J'ai corrigé d'une manière probable. — [3] πιήσῃ (π. om. FGIJK) vulg. – ποιήσῃ H, Ald. – ποιήσει E. – Je lis πίοι. Voy. plus bas, l. 11, πιὼν τὸν κυκεῶνα. – ἔλθῃ FHIJK. – πν. GIJK. – δοκέωμεν EH. – ζώῃν H. — [4] πν. GHIJK. – Comparez le raisonnement d'Érasistrate pour réfuter un médecin défenseur de l'opinion ici combattue : ἔπειτα τοῦ πνεύμονος καὶ πυκνοῦ παντάπασι γεγονότος, πῶς τὸ σὺν κυκεῶνι πινόμενον ἄλφιτον διέξεισι καὶ οὐκ ἐνίσχεται; τουτὶ γὰρ Ἐρασίστρατος ὀρθῶς πρὸς αὐτὸν ἠπόρησε. Plut., Symp., VII, 9, 1. — [5] ζώῃ vulg. – Ante πιὼν addit καὶ H. – πιῶν J. – πεσσουμένου vulg. – πεσσομένου EJK. – γὰρ (γε K', Foes in not.) τοῦ vulg. – γὰρ om. KL. — [6] ὥστε εἰ (ἢ pro εἰ E, Lind.) ἀποπατοίη κ. τρ. ἢ ἐς τὸν πλ. (πν. GIJK) ἔλθοι vulg. – ὥστε ἀποθανεῖν κ. τρ. ἢν ἐς τ. πλ. ἔλθοι K'. – ὥστε οὐκ ἀποπατέειν (aut οὐκ ἂν ἀποπατοίη) κ. τρ., εἰ ἐς τὸν

qu'il est résistant comme une peau. En Libye (*comp.* de la Maladie sacrée, § 1, p. 357), on se sert généralement de la peau du bétail pour vêtement, et du ventre pour sac; le ventre est en effet quelque chose de solide. De plus, quand on boit largement du vin noir, les selles sont noires. Ce sont autant de preuves. Mangez de l'ail ou tout autre aliment à odeur forte, l'urine rendue a la même odeur. Voilà les preuves. On peut encore prendre en considération ceci que je vais dire : qu'on boive du cycéon, ou qu'on prenne un potage de farine cuite, ou quelque autre chose de ce genre, et supposez que cela arrive dans le poumon; le sujet, nous le pensons, ne survivra pas, même un peu de temps; car la moindre parcelle de phlegme qui arrive dans le poumon ou dans le tuyau du poumon, excite une toux forte et répétée, et cause du spasme. Mais admettons même qu'on vive après avoir bu du cycéon ou pris en potage de la farine; ceci se digérant, il se produira, je m'imagine, une forte chaleur dans le corps et beaucoup de souffrance, et les selles ne seraient pas naturelles si ces aliments allaient dans le poumon. Cela fait sept preuves. Et puis, comment le lait nourrirait-il les enfants s'il allait dans le poumon? C'est là une autre preuve pour moi; et je n'aurais pas 1
accumulé tant d'arguments si la croyance au passage des boissons dans le poumon n'était très-répandue. Or, contre des opinions très-générales, il faut apporter beaucoup de preuves, si l'on veut décider par des discours un esprit rebelle à quitter une ancienne opinion. La boisson va, non dans le poumon, mais dans le ventre, parce que le pharynx, toujours ouvert, y tient par continuité, et que la boisson entre dans le pharynx. De plus, le tuyau du poumon est surmonté d'un opercule en

πλ. ἔλθοι Foes in not. – La conjecture de Foes me paraît bonne. – χωρέει vulg. — [7] πν. GHIJK. — [8] τοιοῦτον EGHJK. – δοκέωσιν IJ. – πν. GHIJK. – τις K'. – τις om. vulg. — [9] ἀκούοντα HJK, Ald., Lind., Mack. – τοῖς vulg. – τοῖσιν H. – ἑωυτοῦ τε vulg. – τε om. EFGHIJK. — [10] πν. GHIJK. – ἀλλὰ EH. – ἔστιν αὐτῶ EH. – αὐτῷ vulg. – αὐτῇ K'. – καὶ ἀεὶ χάσκων τοῦ ἀνθρώπου, καὶ χ. EH. — [11] πν. EGHIJK. — [12] καταπώσει J. – χωρέοι (H, al. manu) IK. – αὐτὸν HJK'. – ἑωυτὸν vulg. – εἰς EHIJ.

57. Χωρέει δὲ [1] τὸ ποτὸν ἐς τὴν κοιλίην, καὶ ἐπὴν πλησθῇ, ὁ σπλὴν ἀπ' αὐτῆς δέχεται καὶ διδοῖ ἐς τὰς φλέβας καὶ [2] ἐς τὸ ἐπίπλοον καὶ ἐς τὸ κάταντες, ἔς τε τὴν ὄσχην καὶ ἐς τὰ σκέλεα καὶ ἐς τοὺς πόδας. καὶ ἐπὴν νοῦσος ἐπιγένηται, [3] τῷ ὕδατι πολλῷ χωρέει ὑπὸ τῆς κοιλίης, καὶ ἐς τὸν σπλῆνα ἔρχεται ἀεὶ ἀπὸ τοῦ ποτοῦ, ἐπὴν πίῃ ὁ ἄνθρωπος. Γίνεται δὲ ἐπὶ τῆς νούσου ταύτης ὥστε μὴ πυρεταίνειν, [4] ἀλλ' ἢν ἐν τῇ κοιλίῃ καῦμά τι ᾖ, ἢ ὁκόταν ὁ ἄνθρωπος διψῇ, [5] ἡ δὲ κύστις καὶ ἡ κοιλίη μὴ διηθέωσι κατὰ τρόπον, μηδὲ ἐπιτηδείῃ διαίτῃ ὁ ἄνθρωπος χρῆται. Ὁ δὲ σπλὴν [6] ὑπονοσέων ἕλκει ἀπὸ τῆς κοιλίης ἀπὸ τοῦ ποτοῦ, ἡ δὲ νοῦσος γίνεται, καὶ ἡ ὄσχη διαφανὴς γίνεται, καὶ αἱ κληῖδες καὶ ὁ τράχηλος καὶ τὰ στήθεα καταλεπτύνεται· τήκεται [7] γὰρ ὑπὸ τῆς νούσου ταύτης, καὶ καταῤῥέει ἐς τὴν κοιλίην, τά τε κάτω ὕδατος πλέα ἐστὶ, καὶ ἀσιτέει ἡ κοιλίη, καὶ ὁτὲ μὲν κάρτα στέγει, ὁτὲ δὲ καταῤῥέει, ἥ τε κύστις [8] οὐ διηθέει κατὰ τρόπον· ὡς ἐπὶ τὸ πλεῖον φρίκη τε διαΐσσει ἄλλοτε καὶ ἄλλοτε διὰ τοῦ σώματος, καὶ πῦρ ἔστιν ὅτε ἐπιλαμβάνει, καὶ τὸ πρόσωπον τῶν μὲν οἰδαλέον γίνεται, τῶν δὲ οὔ· [9] ἔστι δ' οἷσι καὶ καταῤῥήγνυνται αἱ κνῆμαι, ἐπὴν χρόνιον τὸ νούσημα γένηται, καὶ ῥεῖ αὐτόθεν ὕδωρ, καὶ ἀγρυπνίη ἐπιπίπτει καὶ ἀδυναμίη τοῦ σώματος καὶ μάλιστα τῆς ὀσφύος, καὶ ἐπήν τι φάγῃ ἢ πίῃ καὶ ὀλίγῳ πλέον, πονέεται ὁ σπλὴν, καὶ τὸ πνεῦμα [10] πυκνὸν ἀεὶ ἀφίει. Ταῦτα δὲ σημήϊα ὕδρωπός εἰσιν. Ἔστι δὲ καὶ περὶ τὴν [11] κοιλίην μοῦνον ἢ καὶ πυρὸς λαβόντος ἢ καὶ οὐχὶ, καὶ ἡ γαστὴρ μεγάλη γίνεται, καὶ τὰ σκέλεα [12] οὐ πίμπλαται ὕδατος, τὰ δὲ ἄνω τοῦ σώματος λεπτὰ

[1] Καὶ τὸ vulg. – καὶ om., restit. al. manu H. – σπλήν τε vulg. – τε est à supprimer. – διαδιδοῖ Lind. — [2] καὶ om., restit. al. manu H. – εἰς IJK. – καὶ ἐς τὴν ὀσχὴν K. — [3] ἐφ' ὕδατι πολλῷ K'. – ἀπὸ pro ὑπὸ K'. – πυρετταίνειν GIJK, Ald., Frob., Mack. — [4] ἄλλην (ἄλλως L, Lind., Mack) ἐν τῇ κοιλίῃ vulg. – ἄλλην est sans doute pour ἀλλ' ἤν. Quant au reste, la vraie leçon est donnée par le passage parallèle des Mal. des femmes, I : ἀρχὴ αὕτη τῆς νόσου καὶ ἄτερ πυρετοῦ, ἢν καῦμά τι τῇ κοιλίῃ ἐνστῇ, καὶ ἢν ἡ ἄνθρωπος τὴν δίψαν μὴ κατέχῃ μηδ' ἡ κύστις μηδ' ἡ κοιλίη διηθέωσιν τὸ οὖρόν τε καὶ τὴν κόπρον κατά τε (lisez γε) δίκην, μὴ δὲ ἐπιτηδείῃ διαίτῃ χρέηται ἡ ἄνθρωπος. En conséquence, au lieu du texte inintelligible de vulg. ἄλλην ἐν τῇ κοιλίῃ, je lis ἀλλ' ἢν ἐν τῇ κοιλίῃ καῦμά τι ᾖ. – ὅταν EH. — [5] ἢν δὲ ἡ κ. L, Lind., Mack. — [6] ὑπὸ νουσέων EGK. – ὑπὸ νούσεων (sic) J. – ὑπονοσέων Lind. – ὑπονουσέων vulg. – ἥ τε νοῦσος Lind. — [7] δὲ pro γὰρ L, Lind. – ταύτης om. v. — [8] καὶ οὐ GHIJK. – πλεῖστον L, Lind., Mack. – φρίκει EJ.

forme de feuille de lierre, de sorte que, dans la déglutition, ce qui prendrait la direction du poumon ne passerait pas. Voilà ce que j'avais à dire là-dessus.

57. (*De l'hydropisie. Le liquide ne s'écoulant pas hors du corps, cela suggère à l'auteur une comparaison avec ces vases qui, pleins de liquide et ouverts par un tuyau, ne laissent cependant rien écouler, à moins qu'on ne pratique un petit pertuis qui permette à l'air d'exercer sa pression.*) La boisson va dans le ventre; et, quand il est plein, la rate reçoit de lui, puis donne aux veines, à l'épiploon, aux parties inférieures, au scrotum, aux jambes, aux pieds. La maladie étant survenue, une eau abondante vient du ventre, et la boisson, quand l'individu a bu, passe incessamment dans la rate. Cette maladie peut n'être pas accompagnée de fièvre; il suffit qu'il y ait de la chaleur dans le ventre, ou que l'individu ait de la soif, que la vessie et le ventre ne filtrent pas comme il convient et que le régime ne soit pas bon. La rate, étant affectée, puise à la boisson dans le ventre, la maladie s'établit, le scrotum devient transparent, les clavicules, le cou et la poitrine maigrissent; en effet cette maladie produit la colliquation, le liquide afflue dans le ventre, les parties inférieures sont pleines d'eau, le patient est sans appétit; tantôt il y a constipation, tantôt dévoiement; la vessie ne rend pas bien; le plus souvent, du frissonnement parcourt de temps à autre le corps, parfois la fièvre s'établit; chez les uns, le visage est bouffi, chez d'autres, non; quelquefois, la maladie s'étant prolongée, les jambes s'ouvrent et de l'eau s'en écoule. Il y a insomnie, faiblesse de tout le corps et principalement des lombes; après qu'on a mangé ou bu, ne fût-ce qu'un peu trop, la rate devient douloureuse; la respira-

— [9] κἔστι οἶσι, al. manu κἔστι δ' οἶσι H. – καὶ om. EFGHIJ. – νόσημα EH. – γίνηται EIJK. – αὐτόθι KL. — [10] πυκινὸν EH. – ὕδροπος IJK. – εἰσιν om. (H, restit. al. manu) v. — [11] κοιλίη, al. manu ίην H. — [12] οὐ om. vulg. – J'ai ajouté οὐ, qui paraît exigé par le sens; voy. p. 612, l. 2, ἐν τοῖσι σκέλεσιν ὕδωρ οὐκ ἐπιγίνεται, et même page, l. 17, où l'auteur dit que, dans l'hydropisie générale, les jambes se remplissent d'eau, ajoutant que dans l'autre le ventre seul est affecté.

[1]γίνεται· οὕτω δ' ἔχουσι τὰ σημήϊα ἅπαντα βληχρότερά ἐστι, καὶ ἅμα [2]καὶ ἐν τοῖσι σκέλεσιν ὕδωρ οὐκ ἐπιγίνεται, καὶ ὁ πόνος τοσούτῳ ἐλάσσων. Περὶ δὲ τὴν κοιλίην μοῦνον διὰ τόδε [3]ὕδρωψ γίνεται· ἐπὴν γὰρ ἁλὲς ἐπιγένηται, καὶ ὁδὸς ἐν ἀρχῇσι μὴ [4]γίνηται ἐς τὸ κάτω, ἀλλ' ἀποληφθῇ ἁλὲς ἐν τοῖσι φλεβίοισιν, ἅτε καὶ ἀναπνοὴν μὴ ἔχον μήτε ἄνω μήτε κάτω, ἀποστήριξιν ἔχει. Ὥσπερ εἴ τις ἄγγος μέγα μικρόστομον [5]ἀπολαβὼν καταστρέψειεν ἐν τάχει, εἶτα καθ' ἡσυχίην ἀπὸ τοῦ στόματος ἀφέλοι τὸ ἐπικείμενον, καὶ ἢν τοῦτο ποιήσῃ, τὸ ὕδωρ οὐκ [6]ἂν ῥεύσειεν ἔξω· οὐ γὰρ ἔχει πνοήν, ἀλλ' ἀποκέκλειται ἀπὸ τοῦ ἐντὸς πνεύματος· ἐνεὸν γὰρ τὸ πνεῦμα πληροῖ τὸ ἄγγος καὶ ἀντιστηρίζει τῷ ἔξω πνεύματι, καὶ οὐκ ἔστι τῷ ὕδατι ἐκδρομὴ ὑπὸ τοῦ πνεύματος τοῦ πληροῦντος τὸ ἄγγος καὶ ἅμα ἐπικειμένου τοῦ ἠέρος· ἢν δέ τις κλίνειε καθ' ἡσυχίην τὸ ἄγγος ἢ κατὰ πυθμένα τρήσειεν, ἐξελεύσεται τὸ πνεῦμα ἐκ τοῦ ἄγγεος· ἐξιόντος δὲ τοῦ πνεύματος, χωρέει καὶ τὸ ὕδωρ ἔξω. Οὕτω [7]δὴ καὶ τῷ ὕδρωπι· ἢν μὲν παραπνοὴ ἢ ἄνω ἢ κάτω διὰ τῶν φλεβίων γένηται ἐν ἀρχῇ τῆς νούσου, ἔρχεται ἐς τὰ σκέλεα καὶ ἐς τοὺς πόδας ὁ ὕδρωψ· ἢν δὲ μή, αὐτοῦ μοῦνον εἱλέεται περὶ τὴν κοιλίην. [8]Καὶ οὕτω μέν μοι περὶ τούτων εἴρηται. Γίνεται δὲ καὶ τῇσι γυναιξὶν ὁ ὕδρωψ ἐν τῇσι μήτρῃσι, καὶ [9]τὰ ἐν τῇσι κοιλίῃσι, καὶ τὰ ἐν τοῖσι σκέλεσι, καὶ τἄλλα σημήϊα ταὐτὰ ἴσχει· ἀποπέφανται δέ μοι ἐν τοῖσι γυναικείοισι νουσήμασι περὶ αὐτοῦ. [10]Αὗται αἱ τρεῖς ἰδέαι τῶν νουσημάτων ἀπὸ τοῦ ὕδρωπος. Γίνεται δὲ τὰ [11] νουσήματα πάντα ταχέως χαλεπά, καὶ πάντα αὔξεται ταχέως· ἔτι δὲ χαλεπώτερα γίνεται, ἢν ἐξ ἑτέρης νούσου τὸ σῶμα [12]τηχθὲν ἐς τοῦτο περιέλθῃ. Ἢν μὲν οὖν ἐν τάχει προκαταλάβηται τὸ νούσημα τὸν ἄνθρωπον, θνήσκει, ἅτε τῆς

[1] Γίνεται οὕτω οἰηθεῖσι. Τὰ δὲ σημήϊα vulg. – Foes conjecture : γίνεται. Οὕτως ἰηθεῖσι τάδε σημήϊα. Mais ἰηθεῖσι n'a point de sens ici. Je lis : οὕτω δ' ἔχουσι τὰ σημήϊα. — [2] καὶ om. K. — [3] ὕδροψ IK. — [4] γένηται J. – ἀλλὰ HIK. – ἀποβληθῇ vulg. – ἀποληφθῇ E (H, al. manu ἀποβληθῇ) K', Mack. — [5] ἀναλαβὼν L, Lind., Mack. – καταστρέψει FJ. – ἐν τάξει EFGHIJK. — [6] ἐκρεύσεται sine ἂν EFG (H, ἐκρεύξεται sic) IJK, Ald. – οὐ E. – οὐδὲ vulg. – οὔτε FGIJK. – ἀλλὰ EH. – ἐννεὸν (sic) Ald. — [7] δὲ, al. manu δὴ H. – ὕδροπι IJK. – ἢ ἄνω EH. – ἄνω sine ἢ vulg. – ὕδροψ IK. – εἰ EH. – μόνον H. – εἰλέεται H, Ald. — [8] καὶ om. FGIJK. – ὁ ὕδρωψ om. FG. – ὕδροψ IK. – τῇ (bis) pro τῇσι J. — [9] τὰ om. J. – τὰ ἄλλα H. – σημεῖα H. – Ante ταὐτὰ addunt πάντα EH. – ταὐτὰ JK', Foes in not., Lind., Mack. – ταῦτα vulg. – νοσή-

tion est toujours fréquente. Tels sont les signes de l'hydropisie. L'hydropisie peut encore être bornée au ventre seul, avec ou sans fièvre; l'abdomen se tuméfie; les jambes ne s'emplissent pas d'eau; et les parties supérieures maigrissent; dans cet état, tous les signes sont atténués, et, si en même temps il n'y a pas d'eau dans les jambes, les souffrances en sont d'autant moindres. L'hydropisie bornée au ventre se produit ainsi : il y a afflux, sans qu'au début la voie soit ouverte avec les parties inférieures; l'interruption produit l'accumulation dans les veines; et, comme il n'y a de respiration (*communication avec l'air extérieur*) ni par le haut ni par le bas, la fixation s'opère. C'est comme si, prenant un grand vase à goulot étroit, et le renversant vivement, on enlevait doucement le bouchon qui ferme le goulot; cela fait, l'eau ne coulera pas au dehors, n'ayant pas de respiration, et étant interceptée par l'air intérieur. En effet, l'air intérieur remplit le vase et s'oppose à l'air extérieur; dès lors, il n'y a pas d'issue pour l'eau entre l'air qui remplit le vase et l'air qui presse par dehors. Mais, si l'on incline doucement le vase ou qu'on y fasse un pertuis au fond, l'air sortira, et, avec lui, l'eau sortira aussi. Il en est de même de l'hydropisie; s'il y a respiration, ou en haut ou en bas, par les veines, au début de la maladie, l'hydropisie va dans les jambes et dans les pieds; sinon, le tourbillonnement se borne au ventre. Voilà ce que j'avais à dire là-dessus. Chez les femmes, l'hydropisie se produit dans les matrices, dans le ventre et dans les jambes, et elle a les mêmes signes; j'ai exposé tout cela en traitant des maladies des femmes. Telles sont les trois espèces de maladies provenant de l'eau. Toutes ces maladies deviennent promptement mauvaises, et toutes s'accroissent promptement; elles sont encore plus mauvaises si le corps, fondu par une autre maladie, tombe dans celle-ci. S'empare-t-elle vivement du patient, il succombe, la maladie

μασι E. — [10] καὶ αὗται αἱ Lind. - νοσημάτων E. - ὕδροπος IJK. — [11] νοσήματα EH. — [12] τιχθὲν J. - νόσημα EH.

[1] νούσου χρονιωτάτης γενομένης· ἐπὴν δὲ καὶ ἡ κοιλίη εὔροος γένηται, κάρτα θνήσκει τάχιστα, ἐπαΐων τε καὶ διαλεγόμενος. Ταῦτα δέ μοι εἴρηται περὶ ὕδρωπος, ὅθεν τε γίνεται καὶ ὅτι τὰ σημήϊα αὐτοῦ τάδε.

[1] Νόσου I. – ὕδροπος IJK. – σημεῖα IJK.

ayant beaucoup duré; si le flux du ventre survient, il succombe très-rapidement, ayant sa connaissance et parlant (*comp.* Coaque 322). Voilà ce que j'avais à dire sur l'hydropisie, d'où elle provient, et que tels sont les signes qu'elle présente.

FIN DE LA GÉNÉRATION, DE LA NATURE DE L'ENFANT,
DU QUATRIÈME LIVRE DES MALADIES
ET DU SEPTIÈME VOLUME.

TABLE DU SEPTIÈME VOLUME.

Préface .... P. I
Argument du Deuxième livre des Maladies........... 1
Des Maladies. Livre deuxième 8
Argument du Troisième livre des Maladies........... 116
Des Maladies. Livre troisième...................... 118
Argument du Livre des Affections internes.......... 162
Des Affections internes............................ 166
Remarques sur les Médecins cnidiens................ 304
Argument du Livre de la Nature de la femme......... 310
De la Nature de la femme 312
Argument des Livres du Foetus de sept mois et du Foetus de huit mois........................ 432
Du Foetus de sept mois............................. 436
Du Foetus de huit mois............................. 452
Argument de la Génération, de la Nature de l'enfant et du Quatrième livre des Maladies 462
De la Génération 470
De la Nature de l'enfant........................... 486
Quatrième livre des Maladies....................... 542

FIN DE LA TABLE DU TOME SEPTIÈME.